Ἡ χελιδὼν ἔφη πρὸς τὴν κορώνην· „ἐγὼ παρθένος καὶ Ἀθηναία καὶ βασίλισσα καὶ βασιλέως τῶν Ἀθηνῶν θυγάτηρ.“ καὶ προσέθηκε καὶ τὸν Τηρέα καὶ τὴν βίαν καὶ τὴν ἀποκοπὴν τῆς γλώττης. καὶ ἡ κορώνη· „τί ἂν“ ἔφη „ἐποίησας, εἰ τὴν γλῶτταν εἶχες, ὅπου τμηθείσης τοσαῦτα λαλεῖς;“

46 Ὅτι, κἂν ὁ χρόνος εἰς δόξαν ἐνέγκῃ τινά, μηδεὶς τὴν ἑαυτοῦ φύσιν ἀγνοείτω· ἀβέβαια γὰρ τὰ ἀγαθὰ τοῦ βίου.

1 σιδηροὺς B αὐτὴ B 2 τοῖς TCH τρεῖς B συνεξεδήμη B **44** prom. deest ap. TC 5 ἐγγυομένη B δῶσιν B 6 τἀγαθὰ C συγκλείσας B συλλέξας A
45 10 ἀλαζῶνες M οἱ διὰ τοῦ λόγου ἀλαζόνες FCH ψευδολογοῦνται BM 11 αὐτοὶ om. FCH ἑαυτῶν M 12 Ἡ om. MFCH τὴν om. M 13 καὶ (p. παρθένος) om. M ἀθηνᾶ M θυγάτηρ τῶν ἀθηνῶν M 14 καὶ (p. θυγάτηρ) om. MFCH προσέθηκε δὲ FCH καὶ τοῦ Τηρέως τὴν βίαν FCH 15 ἔφη· τί ἂν FCH 16 τμηθεῖσα M 17 τοιαῦτα M
46 prom. deest ap. TC 18 post v. χρόνος in M (fol. 16b) folium excidit.

Ἡμίονος ἐκ κριθῆς παχεῖα γενομένη ἔτρεχε σκιρτῶσα καὶ ἔλεγεν· „ἵππος ἐστί μοι μήτηρ· ἐγὼ δὲ οὐδὲν αὐτῆς εἰς τὸν δρόμον ἐλαττῶ.“ ὅτε δὲ ἔπαυσε τοῦ δρόμου, ἐσκυθρώπασεν· ὄνου γὰρ εὐθὺς πατρὸς οὖσα ἀνεμνήσθη.

Ὅτι κρεῖσσον περίβλεπτόν τινα εἶναι σὺν πενιχρᾷ 47
ἐσθῆτι ἢ ζῆν ἀδόξως σὺν πλουσίᾳ ἐσθῆτι.

Ἤριζεν εὐφυεῖ γεράνῳ ταὼς χρυσόπτερος σκώπτουσα τὴν χροιὰν τῆς γεράνου. ἡ δὲ ἔφη· „ἀλλ' ἐγὼ ἄστρων ἐγγὺς ἵπταμαι καὶ φωνῶ, σὺ δὲ ὡς ἀλέκτωρ χαμαὶ πτερύσσῃ οὐδ' ἄνω φαίνῃ.“

Ὅτι οὐ δεῖ ἐν βίῳ ὄντας ἐπαίρεσθαι ἐπὶ τῇ δόξῃ· 48
τῶν γὰρ εὐτελῶν ἀκίνδυνός ἐστιν ὁ βίος.

Ἤριζον πρὸς ἀλλήλας ἐλάτη καὶ βάτος. ἡ δὲ ἐλάτη ἑαυτὴν ἐπαινοῦσα ἔφη, ὅτι „καλή εἰμι καὶ εὐμήκης καὶ ὑψηλή, καὶ χρησιμεύω εἰς ναῶν στέγη καὶ εἰς πλοῖα· καὶ πῶς ἐμοὶ συγκρίνῃ;“ ἡ δὲ βάτος εἶπεν· „εἰ μνησθῇς τῶν πελέκεων καὶ τῶν πριόνων τῶν σε κοπτόντων, βάτος γενέσθαι καὶ σὺ μᾶλλον θελήσεις.“

Ὅτι τὰς πονηρὰς ἔριδας καὶ τὰς φιλονεικίας καλόν 49
ἐστι διαλύειν, ἐπειδὴ πᾶσιν ἐπικίνδυνον τέλος ἄγουσιν.

1 παχεία B σκιρτήσασ M 2 ἔστι M 3 ὅτε BCH ὅτι M 4 ἐσκυθρώπασε C οὖσ' C **47** prom. deest ap. TC; ceterum cf. epim. ap. F 376 (= C p. 408) et Schneiderum 219 6 σὺν B ἐν F Schneider 7 ἀδόξως AF Schneider: om. B 8 σκόπτουσα B 11 φαίνει B
48 12 ἐπὶ em. ἐν B 16 χρυσιμεύω B 17 ἡ δὲ] ὁ δὲ B 18 πελεκείων B πριόνων B πελύκων A σὲ B
49 20 φιλονικείας B

Θέρους ἐν ὥρᾳ, ὅτε τὸ καῦμα δίψαν ἐμποιεῖ, εἰς μικρὰν πηγὴν λέων καὶ κάπρος ἦλθον πιεῖν. ἤριζον δέ, τίς πρῶτος αὐτῶν πίῃ. ἐκ τούτου δὲ πρὸς φόνον ἀλλήλων διηγέρθησαν. ἄφνω δὲ ἐπιστραφέντες πρὸς τὸ ἀναπνεῦσαι εἶδον γῦπας ἐκδεχομένους, ὃς ἂν αὐτῶν πέσῃ, τοῦτον καταφαγεῖν. διὰ τοῦτο λύσαντες τὴν ἔχθραν εἶπον· „κρεῖσσόν ἐστιν ἡμᾶς φίλους γενέσθαι ἢ βρῶμα γυψὶ καὶ κόραξιν.“

50 Ὅτι ἄνθρωποι τὰς ἀλλήλων μᾶλλον συμφορὰς βλέπουσιν ἀκριβῶς, τὰς οἰκείας δὲ ἀγνοοῦσιν.

Θεῶν ὁ Προμηθεύς, ὥς φασι, πρῶτον ἄνθρωπον πλάττων δύο πήρας πηλίνας αὐτῷ ἀπεκρέμασε γεμούσας κακῶν, τὴν μὲν ἔμπροσθεν, τὴν τῶν ἀλλοτρίων, βραχυτάτην, τὴν δὲ ὄπισθεν, τὴν τῶν ἰδίων, μείζω.

51 Ὅτι, ἔνθα προέλθῃ ὕβρις ἢ ἐν πόλει ἢ ἐν ἔθνεσι, πόλεμος [καὶ μάχαι] εὐθὺς μετ' αὐτὴν ἀκολουθεῖ.

Θεοὶ πάντες ἔγημαν, ἣν ἕκαστος εἴληφεν ἐν κλήρῳ. Πόλεμος παρῆν ἐσχάτῳ κλήρῳ· Ὕβριν δὲ μόνην κατέλαβεν· ταύτης περισσῶς ἐρασθεὶς ἔγημεν. ἐπακολουθεῖ δὲ αὐτῇ πανταχοῦ βαδιζούσῃ.

52 Ὅτι καλὸν ἑαυτὸν μετρεῖν ἐν πᾶσι κατὰ τὴν

1 δίψαν ἐμποιεῖ B δίψει λυπεῖ NCH 5 γύπας BN ἂν om. NCH 7 ἐστὶν B ἐστι N 8 κόραξι B **50** 11 προμυθεὺς B ὡς φασὶ B 12 πῆρας B ἀποκρεμάσαι B 13 τῶν ἀλλοτρίων τὴν B **51** prom. deest ap. TCH 17 εἴληφεν ἐν κλήρῳ BTC εἰλήχει κλήρῳ H 18 κατέλαβε καὶ CH **52** 21 καλῶς M ἑαυτὸν BNCH ἐάν τις M μετρεῖ M

ἑαυτοῦ ἰσχὺν καὶ δυνατωτέροις ἑαυτοῦ μὴ συνάπτειν μηδὲ κοινωνεῖν.

Θῆρας ἐθήρευον λέων καὶ ὄναγρος, ὁ μὲν λέων διὰ τῆς δυνάμεως, ὁ δὲ ὄναγρος διὰ τῆς ἐν ποσὶ ταχύτητος. ἐπεὶ δὲ ζῷά τινα ἐθήρευσαν, ὁ λέων μερίζει καὶ τίθησι τρεῖς μοίρας. καὶ „τὴν μὲν μίαν“ εἶπεν „λήψομαι ὡς πρῶτος· βασιλεὺς γάρ εἰμι· τὴν δὲ δευτέραν ὡς ἐξ ἴσου κοινωνός. ἡ δὲ τρίτη μοῖρα αὕτη κακὸν μέγα σοι ποιήσει, εἰ μὴ θελήσῃς φυγεῖν.“

[Ὅτι] τοὺς ἀπαιδεύτους καὶ ἀμαθεῖς καὶ κομψο- **53**
λόγους ἰατροὺς ὁ παρὼν μῦθος στηλιτεύει.

Ἰατρὸς ἦν ἄτεχνος· οὗτος ἀῤῥώστῳ παρακολουθῶν πάντων ἰατρῶν λεγόντων αὐτῷ μὴ κινδυνεύειν, ἀλλὰ χρονίσειν ἐν τῇ νόσῳ, οὗτος μόνος ἔφη αὐτῷ, πάντα τὰ αὑτοῦ ἑτοιμάσειν· „τὴν αὔριον γὰρ οὐχ ὑπερβήσῃ“. ταῦτα εἰπὼν ὑπεχώρησε. μετὰ χρόνον δέ τινα ἀναστὰς ὁ νοσῶν προῆλθεν ὠχρὸς καὶ μόλις βαίνων. ὁ δὲ ἰατρὸς συναντήσας· „χαῖρε“ ἔφη „πῶς ἔχουσιν οἱ κάτω;“

1 ἑαυτοῦ BNCH αὐτοῦ M δυνατωτέρως B δυνατωτέρου M ἑαυτὸν BNCH αὐτῷ ? M 3 Θήρας BM 4 τῆς ἐν CH τοῖς ἐν B τὴν M ἐν τοῖς (om. N) ποσὶ M ταχύτητα MN 5 ζῶα τινὰ M ἐθήρευον M 6 μοίρας τρεῖς M τὰς μ. NCH καὶ om. MNCH εἶπε MC 7 ἐξίσου B 8 κοινωνῶν NCH κοινῶν M μοίρα BM αὕτη ABNCH αὐτῷ M 9 εἰ BMNC ἢν H θελήσεις M ἐθέλεις C ἐθέλῃς NH

53 11 στηλιτεύει B ἐλέγχει καὶ στ. MNCH 12 παρακολουθῶν ἀρρώστῳ M 13 πάντων ἰατρῶν λεγόντων αὐτῷ BNCH ᾧτινι πάντες ἔλεγον M κινδυνεύσειν BM 14 χρονήσειν MN 15 αὐτοῦ CH ἑτοιμάσαι MNCH ὑπερβήσει N 16 ὑπεχώρησεν M 17 προσῆλθε M ὠχθρὸς N βαίνων A βαδίζων H ὢν BM ὢ N ζῶν C ἰατρὸς ἐκεῖνος MNCH 18 συναντήσας αὐτῷ MNCH

κἀκεῖνός εἶπεν· ,,ἠρεμοῦσι πιόντες τὸ τῆς Λήθης ὕδωρ. πρὸ ὀλίγου δὲ ὁ Θάνατος καὶ ὁ Ἅιδης δεινῶς ἠπείλουν τοὺς ἰατροὺς πάντας, ὅτι τοὺς νοσοῦντας οὐκ ἐῶσιν ἀποθνήσκειν, καὶ κατεγράφοντο πάντας· ἔμελλον δὲ καὶ σὲ γράψαι· ἀλλ᾽ ἐγὼ προσπεσὼν αὐτοῖς καὶ δυσωπήσας ἐξωμοσάμην αὐτοῖς μὴ ἀληθῆ ἰατρὸν εἶναί σε, ἀλλὰ μάτην διεβλήθης.“

54 Ὅτι [καὶ] γαληνοὺς καὶ πραεῖς δεσπότας οἱ χαιρέκακοι παραφυσῶντες πρὸς ζάλην καὶ ὀργὴν διεγείρουσιν.

Ἰδὼν γεωργὸς ναῦν ἐν θαλάσσῃ χειμαζομένην καὶ κινδυνεύουσαν εἶπεν· ,,ὦ θάλασσα, στοιχεῖον ἀνηλεὲς καὶ τῶν ἀνθρώπων ἐχθρόν.“ ἡ δὲ θάλασσα γυναικείαν μορφὴν ἀναλαβομένη ἔφη· ,,τί μέμφῃ μοι, ἄνθρωπε, μάτην; οὐκ εἰμι ἐγὼ αἰτία, ἀλλ᾽ οἱ ἐκταράσσοντές με ἄνεμοι. εἰ δὲ χωρὶς τούτων πλεύσεις με, ἡμερωτέραν τῆς γῆς εὑρήσεις, ἐφ᾽ ἧς βαδίζεις.“

55 Ὅτι οἱ εὐτελεῖς καὶ φθονεροὶ ζηλοῦντες τὰ παρὰ τὴν ἑαυτῶν φύσιν καὶ τῶν κατὰ φύσιν στεροῦνται.

Ἴκτινος φωνὴν εἶχεν ἄλλην ὀξεῖαν· ἵππου δὲ ἀκούσας καλῶς χρεμετίζοντος, μιμούμενος τὸν ἵππον καὶ συνεχῶς τοῦτο ποιῶν καὶ ταύτην μὴ καλῶς ἐκμαθὼν

1 κἀκεῖνος B κἀκεῖνοι N πίνοντες A 2 πρὸς ὀλίγον M ἅδης BM δεινὸν MNCH 4 καταγράφονται M δὲ om. M 5 προπεσὼν N καὶ om. M 6 αὐτοῖς om. M εἶναισε MN 7 διαβληθῆναι CH **54** 12 μορφὴν B φωνὴν A 14 εἰμὶ B **55** 17 ζηλοῦνται B τὰ em. τοῦ B 20 χραιμετίζοντος B καὶ συνεχῶς — ἐστέρηται in A intercidisse videntur.

καὶ τῆς ἰδίας φωνῆς ἐστέρηται. καὶ οὔτε τὴν τοῦ ἵππου ἔσχεν οὔτε τὴν πρώτην.

56 Ὅτι πλεονεξίᾳ τις προσέχων καὶ τοὺς ἀσθενεστέρους ἀδικῶν, ἰσχυροτέρῳ προσπεσὼν, ὡς οὐκ ἐλπίζειν, ἐκτίσει τότε καὶ ἃ πρότερον ἐποίησε κακά.

Ἴκτινος ὄφιν ἁρπάσας ἄνω ἐπέτατο. ὁ δὲ ἐπιστραφεὶς καὶ δακὼν καὶ ἀμφότεροι τοῦ ὕψους κατενεχθέντες ὁ μὲν ἴκτινος ἐτεθνήκει. ὁ δὲ ὄφις ἔφη αὐτῷ· „τί τοσοῦτον ἐμάνης, ὅτι τοὺς μηδὲν ἀδικοῦντας βλάπτειν ἠβούλου; ἀλλὰ δίκην ἔδωκας τῆς ἁρπαγῆς δικαίαν.“

57 Ὅτι ἐν καιρῷ ἀδείας καὶ ἀνέσεως τῶν συμφορῶν οὐ δεῖ ἐπιλανθάνεσθαι.

Ἵππον τὸν ἑαυτοῦ στρατιώτης, ἕως μὲν καιρὸς τοῦ πολέμου ἦν, ἐκρίθιζεν ἔχων συνεργὸν ἐν ταῖς ἀνάγκαις. ὅτε δὲ ὁ πόλεμος κατέπαυσεν, εἰς δουλείας τινὰς καὶ φόρτους βαρεῖς ὁ ἵππος ὑπούργει ἀχύρῳ μόνῳ τρεφόμενος. ὡς δὲ πάλιν πόλεμος ἠκούσθη καὶ ἡ σάλπιγξ ἐφώνει, τὸν ἵππον χαλινώσας ὁ δεσπότης καὶ αὐτὸς καθοπλισθεὶς ἐπέβη. ὁ δὲ συνεχῶς κατέπιπτε μηδὲν ἰσχύων. ἔφη δὲ τῷ δεσπότῃ· „ἄπελθε μετὰ τῶν πεζῶν, τῶν ὁπλιτῶν, ἄρτι· σὺ γὰρ ἀφ' ἵππου εἰς ὄνον με μετεποίησας· καὶ πῶς πάλιν ἐξ ὄνου ἵππον θέλεις ἔχειν;“

58 Ὅτι τινὲς τῶν ἀνθρώπων φαῦλοι ὄντες καὶ κακοὶ

1 τὴν em. ταύτην B **56** 3 τίς B 4 ἂν ἐλπίσειεν? 6 ἁρπάσας ἄνω F 352 ἁρπάσαντος B 7 καὶ (post δακὼν) fort. suspectum. **57** prom. deest ap. TCH 15 κατεπαύσατο H 19 μηδὲν B οὐκέτ' A 20 τῶν ὁπλιτῶν BTC ὁπλιτῶν H

[ἐκείνους] εἰώθασι μόνους φιλεῖν τοὺς διατρέφοντας αὐτούς.

Ἵππος καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους στενούμενοι ἦλθον εἰς ἀνθρώπου τινὸς οἰκίαν. ὁ δὲ δεξάμενος αὐτοὺς καὶ πῦρ ἀνάψας ἔθαλψεν. καὶ τῷ μὲν ἵππῳ κριθὰς παρετίθει, τῷ δὲ ταύρῳ ἄχυρα· τῷ δὲ κυνὶ τὰ ἀπὸ τῆς τραπέζης ἐδίδου. διὰ δὲ τὴν τοιαύτην φιλοξενίαν ἀντημείψαντο αὐτῷ χάριτας, μερίσαντες αὐτῷ καὶ χαρισάμενοι τῶν ἐτῶν, ἐφ᾽ ὧν ἔζων· ὁ μὲν ἵππος εὐθὺς τοὺς πρώτους χρόνους· διὰ τοῦτο ἕκαστος θερμὸς καὶ γαῦρός ἐστι τῇ γνώμῃ. ὁ δὲ βοῦς μετ᾽ αὐτὸν τοὺς μέσους χρόνους· διὰ τοῦτο μοχθηρὸς καὶ φιλεργός ἐστι πλοῦτον ἀθροίζων. τρίτος δὲ ὁ κύων τοὺς τελευταίους χρόνους· διὰ τοῦτο πᾶς γηράσκων δύσκολός ἐστι καὶ τὸν διδόντα μόνον τροφὴν ἀγαπᾷ καὶ σαίνει καὶ ἐπιχαίρει, τοῖς δὲ μὴ διδοῦσι καθυλακτεῖ καὶ καθάπτεται.

59 Ὅτι ὄνειδός ἐστιν ἀνθρώπῳ ἐξ ἀλλοτρίου πλούτου κοσμεῖσθαι ἑαυτόν. ὅτι κατάδηλος πᾶς, εἰ καὶ φανερὸς γένηται.

Ἶρις ἡ τῶν θεῶν ἄγγελος πᾶσι πετεινοῖς ἐκήρυξεν· „εἴ τις ὑμῶν κρείττων εἰς κάλλος φανῇ, οὗτος πτηνῶν πάντων βασιλεύσει ὑπὸ τοῦ Διός." ἐπισυνηγμένων δὲ

58 1 ἐκείνους B: incl. ἐκεῖνοι N: om. CH μόνους om. N μόνους εἰώθασι CH διατρέφοντας NCH διαφέροντας B 5 ἔθαλψε NCH 6 ἀπὸ B ἐπὶ NCH 7 ἀντιμείψαντο B 8 καὶ χαρισάμενοι αὐτῷ NCH 9 ἐφ᾽ BN ἀφ᾽ ACH καὶ ὁ μὲν NCH 10 γαῦρος ἐστὶ B 12 φίλεργός CA 13 τρίτον NCH τελευτέους B 14 ἐστι τῇ γνώμῃ NCH 15 σαίνει BACH σείει N 59 prom. deest ap. TC. 18 ὅτι — γένηται corrupta sunt. 20 Ἴρις B ἡ em. ὁ B

πάντων ὀρνέων εἰς τὴν τῆς Στυγὸς κρήνην καὶ ἀπολουομένων κολοιός, υἱὸς κορώνης γέρων, πάντων ὀρνέων τὰ πτερὰ πρὸς ἑαυτὸν ἁρμοσάμενος ἦλθεν ἀετοῦ κρείσσων. ὁ Ζεὺς δὲ τὸ κάλλος θαμβηθεὶς τὴν νίκην τούτῳ παρέχειν ἔμελλεν, εἰ μὴ χελιδὼν Ἀθηναία τοῦτον ἤλεγξε τὸ πτερὸν αὐτῆς ἐκσπάσασα. τὸ αὐτὸ δὲ καὶ τῶν λοιπῶν ὀρνέων ποιησάντων διεγνώσθη κολοιὸς ὤν.

[Ὅτι] τοὺς ἀχαρίστους καὶ κακούργους, τοὺς ἀντὶ **60**
ἀγαθῶν κακὰ ἀντιδιδόντας, ὁ μῦθος ἐλέγχει.

Καρύα τις ἐν ὁδῷ ἱσταμένη καρπὸν πολὺν ἔφερεν. οἱ δὲ παροδῖται λίθοις αὐτὴν καὶ βάκλοις κατέκλων διὰ τὰ κάρυα. ἡ δὲ οἰκτρὸν λόγον ἔφη· „ὦ ἀθλία ἐγώ, ὅτι, οὓς τῷ καρπῷ μου εὐφραίνω, ὑπὸ τούτων δεινὰς ἀντιλαμβάνω χάριτας."

Ὅτι οὐ δεῖ τινα τοῖς τῶν κολάκων ἐπαίνοις τυφοῦ- **61**
σθαι ἢ ἐπαίρεσθαι· βλάβη γὰρ αὐτοῖς ἀντὶ τῆς τοιαύτης τιμῆς ἕπεται.

Κόραξ τυρὸν ἔδακνεν. ἡ δὲ πανοῦργος ἀλώπηξ τὸν τυρὸν ἐθέλουσα φαγεῖν ἐπαίνῳ τὸν κόρακα ἐξηπάτα φάσκουσα, ὡς „πάντων ὀρνέων εὐπρεπείᾳ διαφέρεις ἔν τε πτεροῖς καὶ αὐχένι καὶ στῆθος ἔχεις ἀετοῦ καὶ ὄνυχας. ἀλλ' ὁ τοιοῦτος ὄρνις ἄφωνος εἶ καὶ κωφός." κόραξ δὲ τοῖς ἐπαίνοις χαυνωθεὶς τὸν τυρόν τε τοῦ στόματος

1 στυγὸς κρήνην B πέτρης αἰγὶ δυσβάτου κρήνη A 6 αὐτῆς C αὐτοῦ BT τοαυτὸ B **60** 8 Ὅτι om. H 9 ἀντιδόντας N 10 τίς BN ἔφερε πολὺν NCH 11 παροδίται BN αὐτὴν om. NCH 12 λόγον om. NCH
61 15 τινὰ B

ἐκβαλὼν ἐκεκράγει μεγάλα. τοῦτον δὲ ἡ ἀλώπηξ ἁρπάσασα ἔφη· „ἔχεις, κόραξ, ἅπαντα, νοῦς δέ σοι λείπει.“

62 Ὅτι οἱ πρὸς τοὺς εὐεργέτας ἀγνώμονες γενόμενοι ἐν περιστάσει ἐμπεσόντες οὐχ ἕξουσι βοηθούς.

Κόραξ ὑπὸ παγίδος κρατηθεὶς εὔξατο τῷ Ἀπόλλωνι λιβανωτὸν ἐπιθύσειν. σωθεὶς δὲ τοῦ κινδύνου τῆς ὑποσχέσεως ἐπελάθετο. πάλιν δὲ ὑφ᾽ ἑτέρας κρατηθεὶς παγίδος ἀφεὶς τὸν Ἀπόλλωνα τῷ Ἑρμῇ ὑπέσχετο θῦσαι. ὁ δὲ πρὸς αὐτὸν ἔφη· „ὦ κάκιστε, πῶς σοι πιστεύσω, ὃς τὸν πρότερόν σου δεσπότην ἠρνήσω καὶ ἠδίκησας;“

63 Ὅτι ὁ πάντας ἐν τῷ βίῳ ἐχθροὺς κεκτημένος οὐδένα φίλον ἐν ἀνάγκαις εὑρήσει.

Κόραξ νοσήσας τῇ μητρὶ κλαιούσῃ εἶπεν· „εὔχου τοῖς θεοῖς, μῆτερ, καὶ μὴ κλαῖε.“ ἡ δὲ εἶπεν· „τίς σε τῶν θεῶν, τέκνον, ἐλεήσει; τίνος γὰρ αὐτῶν βωμὸς ὑπὸ σοῦ οὐκ ἐσυλήθη;“

64 Ὅτι οὐ δεῖ τινα ἢ δολίως ἢ ἀπλήστως πλεονεκτεῖν· ἐν ὑστέρῳ γάρ, κἂν μὴ θέλῃ, πάντα κακῶς ἀποδώσει.

Κοιλώματι δρυὸς στενωτάτῳ ποιμένος ἔκειτο πήρα μεθ᾽ ὧν εἶχε βρωμάτων. ἀλώπηξ δὲ μαθοῦσα, νῆστις

2 λίπει B   **62** 3 εὐεργετοῦντας NCH   4 βοηθούς B βοήθειαν NCH   5 ηὔξατο NCH   6 ἐπιθύσει N ἐπιθύσειν ὑπισχνῶν H   σωθεὶς δ᾽ ἐκ τοῦ CH   8 θύσαι B   10 σου om NCH   ἤρνησας NCH   **63** 14 κλαίε B   **64** haec fab. etiam in Pal. V fuit; N ad fab. 161 adnotat: ‚aliae membranae: ὅτι οὐ δεῖ τινα δολίως κτλ.‘   17 τινὰ B   ἢ (ante δολίως) om. N   18 κακῶς om. N   ἀποδώσῃ B   20 πῆρα B

οὖσα καὶ λεπτοτάτη, εἰσελθοῦσα ἐνεπλήσθη κρεῶν. ὀγκωθείσης δὲ τῆς γαστρὸς ἐξελθεῖν τῆς στενῆς ὀπῆς οὐκ ἠδύνατο. ἑτέρα δὲ αὐτῇ ἀλώπηξ γελῶσα ἔφη· „οὐκ ἐξελεύσῃ, ἕως ἂν τὴν γαστέρα ποιήσῃς, οἵαν ὅτε εἰσῆλθες.“

Ὅτι τῇ κακῇ συνηθείᾳ οὐ δεῖ παρέχειν ἄδειαν· **65**
νομὴν γὰρ λαβοῦσα λύπην ἐσχάτως ποιεῖ.

Κοιμωμένου λέοντος μῦς ἐπέδραμεν τῇ χαίτῃ αὐτοῦ. ὁ δὲ ἀνεπήδησε καὶ ἐθυμώθη. ἀλώπηξ δὲ ἰδοῦσα ἐπεγέλασεν, ὡς τοιοῦτος ὢν τὸν μῦν πτοεῖται. ὁ δὲ ἔφη· „οὐ τὸν μῦν δέδοικα, ἀλλὰ τὴν κακὴν ὁδὸν καὶ συνήθειαν ἀνακόπτω.“

Ὅτι ὁ τοῦ ἀπλήστου ἀνδρὸς βίος ταῖς ματαίαις **66**
ἐλπίσι καὶ ἀβεβαίοις ἀναλοῦται.

Κύων ἐκ μαγειρείου κρέας κλέψας ποταμὸν διεπέρα. τὴν δὲ σκιὰν τοῦ κρέατος μείζω ἰδὼν εἰς τὸ ὕδωρ ἀφῆκε τὸ κρέας καὶ τῇ σκιᾷ ἐπέδραμεν. κἀκείνης μὲν ἠστόχησε, προσαπώλεσε δὲ καὶ τὸ κρέας, ὃ εἶχεν.

Ὅτι οἱ πλεονέκται τοῖς πιθανοῖς λόγοις καὶ ταῖς **67**
κολακείαις τοὺς πένητας δελεάζοντες ἀποστεροῦσιν αὐτοὺς καὶ τῆς ἀναγκαίας χρείας.

Κριθὴν τὴν τοῦ ἵππου ὁ ἱπποκόμος κλέπτων καὶ

1 ὀγκοθείσης B 4 οἵαν ὅτε εἰσῆλθες B ἡλίκη ὅτ' εἰσῄεις A **65** 7 διέδραμεν A 11 ἀνακόπτω B ἀνατρέπω C 218 H 257b **66** 12 ὁ em. οὐ B 14 μαγειρίου B κρέα B διεπέρα B παρῄει A 15 ἐφῆκε B 16 κἀκείνης B ἠστόχισε B **67** 19 τοῦ πένητος B δελεάζονται καὶ NCH ἀποστεροῦσι N 21 ὁ om. CH ἱπποκόπος N ὁ ἱ. κλέπτων καὶ πωλῶν des. in A

πωλῶν τὸν ἵππον ἔτριβεν, ἐκτένιζεν πᾶσαν ἡμέραν. ἔφη δὲ ὁ ἵππος· „εἰ θέλεις ἀληθῶς καλὸν εἶναί με, τὴν κριθὴν τὴν τρέφουσάν με μὴ πώλει.“

68 Ὅτι τοῖς τὸ ἦθος παλίμβουλον κεκτημένοις ἀνθρώποις οὔτε ἀπιστεῖν ἔνεστιν οὔτε πιστεύειν.

Κύων λαγωὸν διώξας ἐκράτησεν, καὶ ποτὲ μὲν ἔδακνε, ποτὲ δὲ σαίνων προσέχαιρε καὶ ἠφίει. καὶ ὁ λαγωὸς εἶπεν· „εἰ μὲν φίλος εἶ, τί δάκνεις; εἰ δὲ ἐχθρός, τί σαίνεις οὐρήν;“

69 Ὅτι οὐ δεῖ κινδύνους ἑαυτῷ ἐπιφέρειν διὰ τρυφὴν καὶ ματαίαν δόξαν, ἀλλὰ τούτους ἐκφεύγειν.

Κύων τρεφόμενος ἐν οἴκῳ θηρσὶν εἰδὼς μάχεσθαι, ἰδὼν πολλοὺς ἐν τάξει ἱσταμένους, ῥήξας τὸν κλοιὸν τοῦ τραχήλου ἔφευγε διὰ τῶν ἀμφόδων. κύνες δὲ ἄλλοι τοῦτον ἰδόντες εὐτραφῆ οἷα ταῦρον εἶπον· „τί φεύγεις;“ ὁ δὲ εἶπεν· „ὅτι μὲν τροφῇ συζῶν περισσῇ οἶδα καὶ σῶμα τὸ ἐμὸν εὐφραίνω· ἀεὶ δὲ πλησίον εἰμὶ θανάτου ἄρκοις καὶ λέουσι μαχόμενος.“ οἱ δὲ πρὸς ἀλλήλους εἶπον· „καλὸν βίον ἡμεῖς εἰ καὶ πενιχρὸν ζῶμεν, οἵτινες οὔτε λέουσιν οὔτε ἄρκοις μαχόμεθα.“

1 ἔτριβε καὶ ἐκτένιζε NCH πάσας ἡμέρας NCH 3 με om. NCH **68** prom. deest ap. TCH 4 τοῖς τὸ ἦθος ἀνθρώποις παλίμβουλον κεκτημένοις B 5 ἔνἐστιν (sic) B 6 ἐκράτησε CH 7 ἠφίη BT ἐφίλει CH ὡς φίλῳ A 9 οὐράν H **69** hanc fab. ed. in Zeitschr. f. öst. Gymn. 1876 p. 162 12 εἰδὼς B δεδιὼς Hartel 13 ῥῆξας B 15 εἶπον em. εἶπεν B 16 τροφῇ μὲν Hartel 17 εὐφραίνων Hartel 18 λέουσι em. κυσὶ B συσὶ?

[Ὅτι] τοὺς εὐτελεῖς καὶ ἀδόξους καὶ μαχομένους τυράννοις ἐλέγχει ὁ μῦθος. **70**

Κώνωψ ἐπὶ κέρατι βοὸς ἐκαθέσθη καὶ ηὔλει. εἶπε δὲ πρὸς τὸν βοῦν· „εἰ βαρῶ σου τὸν τένοντα, ἀναχωρήσω.“ ὁ δὲ ἔφη· „οὔτε, ὅτε ἦλθες, ἔγνων, οὔτε, ἐὰν μείνῃς, μελήσει μοι.“

Ὅτι οἱ τῶν ἀλαζόνων κενόδοξοι τρόποι πρόδηλοί εἰσι δηλοῦντες τὴν ἀφανῆ κακίαν. **71**

Λάθρᾳ κύων ἔδακνε. τούτῳ δὲ ὁ δεσπότης κώδωνα ἐκρέμασεν, ὥστε πρόδηλον εἶναι. οὗτος δὲ τὸν κώδωνα σείων ἐν τῇ ἀγορᾷ ἠλαζονεύετο. γραῦς δὲ κύων εἶπεν αὐτῷ· „τί φαντάζῃ; οὐ δι᾽ ἀρετὴν τοῦτον φορεῖς, ἀλλὰ δι᾽ ἔλεγχον τῆς κεκρυμμένης σου κακίας.“

Ὅτι πολλάκις καὶ δυνατοὺς ἄνδρας αἱ συμφοραὶ ταπεινοῦσιν τοῦ ἐξ εὐτελῶν καὶ δειλῶν ὑπομένειν αἰκίας. **72**

Λέοντα φεύγων ταῦρος εἰς σπήλαιον ἔδυ. τράγος δὲ τοῦτον τοῖς κέρασιν ἐξώθει. ὁ δὲ εἶπεν· „οὐ σέ, ἀλλὰ τὸν λέοντα φοβοῦμαι. ἐπεὶ παρελθέτω, καὶ τότε γνώσῃ, τίς ἡ δύναμις ταύρου καὶ τράγου.“

70 1 εὐτελεῖς B εὐκλεεῖς NF ἀκλεεῖς C 2 τυράννοις om. B μῦθος B λόγος NC 3 κέρατος NFC ἐκάθητο F 4 βοῦν (om. τὸν) F 6 μένῃς NFC **71** 7 ἀλαζονευομένων NCH 8 ἀφανῆ CH ἐμφανῆ BN 9 κώδονα N 10 κρεμάσας N εἶναι B εἶναι τοῖς πᾶσιν NCH 11 εἶπεν αὐτῷ κύων H εἶπεν αὐτῷ· „Κύων NC **72** 15 ταπεινοῦσι N τοῦ B τὰς N ὥστε τὰς CH 16 εἰς σπήλαιον ἔδυ B εἰσῆλθεν εἰς σπ. NCH 17 ὁ δ᾽ H 18 παρελθέτω τὸ θηρίον CH

73 Ὅτι φρόνιμός ἐστιν ὁ συμφοραῖς ἑτέρων παιδευθεὶς [εἰ] καὶ μὴ προλαβὼν πταίσας.

Λέων γηράσας κυνηγεῖν οὐκ ἠδύνατο. ἔκειτο δὲ ἐν τῷ σπηλαίῳ προσποιούμενος νοσεῖν καὶ τὴν φωνὴν λεπτύνων καὶ ἀσθμαίνων. ἐξῆλθε δὲ φήμη εἰς τὰ θηρία ἀσθενεῖν τὸν βασιλέα αὐτῶν. ἓν δὲ ἕκαστον εἰσήρχετο πρὸς ἐπίσκεψιν. ὁ δὲ ἀκόπως λαμβάνων κατήσθιεν. ἡ δὲ πανοῦργος ἀλώπηξ νοήσασα πόρρωθεν στᾶσα· „βασιλεῦ, πῶς ἔχεις;“ ἔφη. „κακῶς“ εἶπεν· „ἀλλὰ τί οὐ προσέρχῃ μοι, ἀλλὰ μακρόθεν ἐρωτᾷς; δεῦρο, γλυκεῖα, καὶ τοῖς μύθοις σου παρηγόρησον.“ ἡ δὲ ἔφη· „ὑγίαινε· ἐγὼ δὲ ἄπειμι· πολλῶν γὰρ θηρίων ἴχνη με κωλύει εἰσιόντων μέν, μηδ' ὅλως δὲ ἐξιόντων.“

74 Ὅτι τοὺς θυμώδεις ἄνδρας καὶ ἀδικεῖν εἰθισμένους πάντες φευγέτωσαν ἀρχὴν λαβόντας καὶ δυναστεύσαντας.

Λέων ἐλύσσα. τοῦτον δὲ ἔλαφος ἐξ ὕλης ἰδὼν εἶπεν· „οὐαὶ ἡμῖν, τοῖς ταλαιπώροις. τί γὰρ μαινόμενος οὗτος οὐχὶ ποιήσει, ὃς καὶ σωφρονῶν οὐκ ἦν ἡμῖν φορητός;“

75 Ὅτι ὁ τῆς φιλοδοξίας ἔρως τὸν ἀνθρώπινον νοῦν ἐπιθολοῖ καὶ τὰς τῶν κινδύνων συμφορὰς οὐ κατανοεῖ.

Λέων νοσήσας ἔκειτο ἐν φάραγγι. τῇ προσφιλεῖ δὲ ἀλώπεκι, ᾗ προσωμίλει, εἶπεν· „εἰ θέλεις ὑγιᾶναί με

73 1 φρόνημός B 2 εἰ incl. μὴ add. 10 γλυκεία B 12 ὧν ἐξιόντων οὐκ ἔχεις, ὅ μοι δείξεις A **74** 15 λαβόντες καὶ δυναστεύσαντες B 16 ἔλαφος B νεβρὸς A 18 ὃς em. ὅ B **75** prom. deest ap. TC 358 19 φιλοδοξίας FH φιλοξενίας B ἀνθρώπων FH 22 προσομίλει B ὑγιάναι με BF

καὶ ζῆν, τὴν ἔλαφον τὴν μεγίστην τὴν εἰς τὸν δρυμὸν οἰκοῦσαν τοῖς γλυκέσι σου λόγοις ἐξαπατήσασα ἄγε εἰς ἐμὰς χεῖρας· ἐπιθυμῶ γὰρ αὐτῆς ἐγκάτων καὶ καρδίας.“ ἡ δὲ ἀλώπηξ ἀπελθοῦσα εὗρε τὴν ἔλαφον σκιρτῶσαν ἐν ταῖς ὕλαις. προσπαίσασα δὲ αὐτῇ καὶ χαίρειν εἰποῦσα ἔφη· „ἀγαθά σοι ἦλθον μηνῦσαι· οἶδας, ὡς ὁ βασιλεὺς ἡμῶν λέων γείτων ἐστί σοι· νοσεῖ δὲ καὶ ἔστιν ἐγγὺς τοῦ θνήσκειν. ἐβουλεύετο οὖν, ποῖον τῶν θηρίων μετ᾽ αὐτὸν βασιλεύσει. ἔφη δὲ ὅτι ‚σῦς μέν ἐστιν ἀγνώμων, ἄρκος δὲ νωθρός, πάρδαλις δὲ θυμώδης, τίγρις ἀλαζών· ἡ ἔλαφος ἀξιωτάτη ἐστὶν εἰς βασιλείαν, ὅτι ὑψηλή ἐστι τὸ εἶδος, πολλὰ δὲ ἔτη ζῇ, τὸ κέρας αὐτῆς ὄφεσι φοβερόν.‘ καὶ τί σοι τὰ πολλὰ λέγω· ἐκυρώθης βασιλεύειν. τί μοι ἔσται πρώτῃ σοι εἰπούσῃ; ἀλλ᾽ εὖξαί μοι σπευδούσῃ, μὴ πάλαι με ζητήσῃ· χρῄζει γάρ με σύμβουλον ἐν πᾶσιν. εἰ δὲ ἐμοῦ τῆς γραὸς ἀκούσῃς, συμβουλεύω καὶ σὲ ἐλθεῖν καὶ προσμένειν τελευτῶντι αὐτῷ.“ οὕτως εἶπεν ἡ ἀλώπηξ. τῆς δὲ ὁ νοῦς ἐτυφώθη τοῖς λόγοις καὶ ἦλθεν εἰς τὸ σπήλαιον μὴ γινώσκουσα τὸ μέλλον. ὁ λέων δὲ ἐφορμήσας αὐτῇ ἐν σπουδῇ τὰ ὦτα μόνον τοῖς ὄνυξιν ἐσπάραξεν. ἡ δὲ ταχέως ἔσπευδεν ἐν ταῖς ὕλαις.

1 δρυμὸν BTCH δρυμῶνα F 2 εἰς (τὰς) ἐμὰς H 4 ἀπελθοῦσα — αὐτῇ om BT 6 μηνοῦσαι F οἶδας BFCH οἶσθας A m. pr. 7 λέων om. F γείτων μοί ἐστι FH ἔστι μοι γείτων A ἐγγύς ἐστι FH 9 αὐτὸν F σὺς B 10 ἄρκτος FAH νωθρὰ FH 11 βασιλείαν BTCH βασιλέα F 12 καὶ τὸ κέρας FH ὄφεσι BFCH ἑρπετοῖς A 14 εὖξαι μοι B 15 πάλιν BF μὴ πάλαι με ζητήσῃ om. TC 16 ἀκούσῃ H 18 ἐτυφλώθη F 19 ἦλθον B γιγνώσκουσα CH 20 δ᾽ CH ὁ δὲ λέων F ἐφορμήσας — λέοντος (p. 34 v. 22) desunt in Vatic. Furiae

καὶ ἡ μὲν ἀλώπηξ τὰς χεῖρας ἐκρότησεν, ὅτι εἰς μάτην ἐκοπίασεν. ὁ δὲ λέων μέγα βρυχώμενος ἐστέναξεν· λιμὸς γὰρ αὐτὸν εἶχε καὶ λύπη. καὶ ἱκέτευε τὴν ἀλώπεκα ἐκ δευτέρου τι ποιήσειν καὶ δόλῳ πάλιν ταύτην ἀγαγεῖν. ἡ δὲ εἶπεν· „χαλεπὸν καὶ δύσκολον ἐπιτάττεις μοι πρᾶγμα· ἀλλ' ὅμως ὑπουργήσω σοι.“ καὶ δὴ ὡς ἰχνευτὴς κύων ἐπηκολούθει πλέκουσα πανουργίας· ποιμένας δὲ ἐπηρώτα, εἰ εἶδον ἔλαφον ἡμαγμένην. οἱ δὲ ἔδειξαν ἐν τῇ ὕλῃ. εὗρε δὲ αὐτὴν καταψυχομένην καὶ ἔστη ἀναιδῶς. ἡ δὲ ἔλαφος χολωθεῖσα καὶ φρίξασα τὴν χαίτην εἶπεν· „ὦ κάθαρμα, ἀλλὰ οὐκέτι χειρώσῃ με: εἰ δὲ καὶ πλησιάσεις μοι, οὐ ζήσεις ἔτι. ἄλλους ἀλωπέκιζε τοὺς ἀπείρους, ἄλλους ποίει βασιλεῖς καὶ ἐρέθιζε.“ ἡ δὲ εἶπεν· „οὕτως ἄνανδρος εἶ καὶ δειλή; οὕτως ἡμᾶς τοὺς φίλους ὑποπτεύεις; ὁ μὲν λέων τοῦ ὠτὸς κρατήσας ἤμελλε συμβουλεύειν καὶ ἐντολάς σοι δοῦναι περὶ τῆς τηλικαύτης βασιλείας ὡς ἀποθνήσκων· σὺ δὲ οὐδὲ κνίσμα χειρὸς ἀρρώστου ὑπέστης. καὶ νῦν ὑπὲρ σὲ πλεῖον ἐκεῖνος θυμοῦται καὶ βασιλέα τὸν λύκον θέλει ποιῆσαι· οἴμοι πονηρὸν δεσπότην· ἀλλ' ἐλθὲ καὶ μηδὲν πτοηθῇς καὶ γενοῦ ὡς πρόβατον. ὄμνυμι γάρ σοι εἰς τὰ φύλλα πάντα καὶ πηγάς, μηδὲν κακὸν παθεῖν παρὰ τοῦ λέοντος· ἐγὼ δὲ μόνη σοι δουλεύσω.“ οὕτως ἀπατήσασα τὴν δειλαίαν ἔπεισε δεύτερον ἐλθεῖν. ἐπεὶ δὲ εἰς τὸ σπήλαιον εἰσῆλ-

2 ἐστέναξε CH 4 τί B ποιῆσαι CH cf. indic. 5 εἶπε H ἐμοί TCH 6 ὁμῶς B ἀλλ' ὁμῶς B αὖθις ἀλλ' A 7 δ' H ἐπερωτᾷ T 8 εἶδεν H δ' H 9 ἀναψυχομένην H ἡ δ' H 10 χωλωθεῖσα B 11 ἄλλω B 12 οὐ ζήσεις ἔτι B οὐχὶ χαιρήσεις A 17 κνῆσμα BC ἄρρωστον H 19 πονηροῦ δεσπότου A 21 ὤμνυμι B 23 μόνη BFC οὕτω F

θεν, ὁ μὲν λέων δεῖπνον εἶχε πάντα τὰ ὀστᾶ καὶ μυελοὺς καὶ ἔγκατα καταπίνων. ἡ δὲ ἀλώπηξ εἱστήκει ὁρῶσα· καρδίαν δὲ ἐκπεσοῦσαν ἁρπάζει λαθραίως τοῦ κόπου κέρδος ταύτην φαγοῦσα. ὁ δὲ λέων ἅπαντα ἐρευνήσας μόνην καρδίαν ἐπεζήτει. ἀλώπηξ δὲ μήκοθεν σταθεῖσα ἔφη· „αὕτη ἀληθῶς καρδίαν οὐκ εἶχεν· μὴ ἔτι ζήτει· ποίαν γὰρ καρδίαν αὕτη εἶχεν, ἥτις δὶς εἰς οἶκον καὶ χεῖρας λέοντος εἰσῆλθεν;“

Ὅτι δι᾽ ἀπάτης καὶ φρονήσεως πλεῖστοι ἐχθροὺς **76**
ἐχειρώσαντο. [λέων γὰρ ἀνθρώπου οὐκ ἐρᾷ.]

Λέων ἠράσθη παιδὸς ὡραίας· τὸν πατέρα δὲ αὐτῆς ἐδυσώπει δοῦναι αὐτῷ ταύτην πρὸς γάμον. ὁ δὲ ὑπούλως ἔφη· „χαίρων δίδωμι· τίς γὰρ οὐ θελήσει λέοντα καὶ δυνάστην ἐπικηδεῦσαι; ἀλλὰ τῶν παρθένων αἱ φρένες δειλαί εἰσιν· πῶς γὰρ ἰδοῦσα τηλικούτους ὄνυχας καὶ ὀδόντας τολμήσει ἀφόβως περιλαβεῖν σε καὶ μὴ κλαῦσαι; πρὸς ταῦτα σκόπησον, εἰ χρῄζεις γάμου, μὴ θὴρ, ἀλλὰ νυμφίος εἶναι.“ ὁ δὲ ἀπατηθεὶς ἐξεῖλε τοὺς ὀδόντας καὶ τῇ σμίλῃ ἀπωνυχίσθη καὶ τὴν παῖδα ἐξήτει. τοῦτον δὲ ἕκαστος ῥοπάλῳ καὶ λίθῳ παίων ἐθανάτωσαν· ἔκειτο δὲ ὡς πρόβατον ταῖς ποικίλαις φρεσὶ τοῦ γέροντος ἀπατηθείς.

2 ἔγκατα αὐτῆς F 3 ἁρπάζῃ B 5 μηκόθεν CH σταθεῖσα BTC στᾶσα FH 6 αὕτη FCH αὐτὴ B εἶχε CH μὴ — εἶχεν om. F ἔτι B μάτην A 7 ποίαν H ὁποίαν BTC αὕτη CH αὐτῇ B **76** 10 λέων — ἐρᾷ cf. Babr. 98, 20 16 σε add. 19 ἀπονυχίσθη B ἐξήτει B ἀπήτει A 21 πρόβατον B ὗς A

77 Ὅτι οἱ εὐνοοῦντες ἄνθρωποι, κἂν πένητες ὦσιν, δύνανται ἐν καιρῷ καὶ δυνάστην ὠφελεῖν.

Λέων ἀγρεύσας μῦν ἔμελλε φαγεῖν. ὁ δὲ ἱκέτευεν ἀφεθῆναι λέγων· ,,ἔλαφον ἢ ἕτερον ζῷον δεῖ φαγεῖν σε καὶ χορτασθῆναι· ἐγὼ γὰρ οὐδὲ τὸ χεῖλός σου ἀλείψω αἵματι· ἀλλὰ φεῖσαί μου καὶ χάριν σοι ἐν καιρῷ ποτε ἀποδώσω.“ γελάσας δὲ ὁ λέων εἴασε τοῦτον ζῆν. χρόνῳ δέ τινι . . . ἐμπεσὼν ἠγρεύθη ὁ λέων καὶ δεθεὶς ἀπέγνω τῆς ἑαυτοῦ σωτηρίας. ὁ μῦς δὲ ἐπιστὰς ἔφη· ,,δύναμαι τὴν ἀντιχάριτά σοι ἀποδοῦναι καὶ σῶσαί σε.“ καὶ τὰ δεσμὰ περιφαγὼν ἔλυσε τὸν λέοντα, ἐπάξιον δοὺς μισθόν.

78 Ὅτι δικαιοσύνης ἐν πόλει οὔσης καὶ δικαίως πάντων δικαζόντων καὶ οἱ εὐτελεῖς ἀταράχως βιοῦσιν.

Λέων τις ἐβασίλευεν οὐχὶ θυμώδης οὐδὲ ὠμὸς οὐδὲ βίαιος, ἀλλὰ πρᾷος καὶ δίκαιος ὥσπερ ἄνθρωπος. ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας συναθροισμὸς ἐγένετο πάντων τῶν ζῴων δοῦναι δίκας καὶ λαβεῖν πρὸς ἄλληλα, ὁ λύκος μὲν προβάτῳ, πάρδαλις δὲ αἰγάγρῳ, ἐλάφῳ δὲ τίγρις, κύων δὲ λαγωῷ. ὁ πτὼξ δὲ ἔφη· ,,πολλὰ ηὐχόμην ἰδεῖν τὴν ἡμέραν ταύτην, ἵνα τοῖς βιαίοις φοβερὰ τὰ εὐτελῆ φανῶσιν.“

77 1 εὐνοοῦντες BM εὖ νοοῦσιν A 2 δύναται M δυνάστας M 4 σε φαγεῖν M 5 γὰρ B δὲ M χεῖλος σου M 6 αἵματος B φεῖσαι μου B ἐν καιρῷ om. M ποτὲ B 7 εἴασε τοῦτον ζῆν B ἔφη ἐῶ σε τοῦ ζῆν καὶ ἀφῆκεν αὐτὸν M 8 ante ἐμπεσὼν in BM δεσμοῖς vel simile quid excidisse videtur. 9 τῆς B τῆς τὲ? M δύναμαι — σῶσαί σε non expressa sunt in A 10 σῶσαι σε B σε om. M 11 περιφαγὼν B φαγὼν M μισθόν B τὸν μ. M

78 prom. deest ap. TCH 14 τίς B ἐβασίλευσεν B 17 προσαλλήλα B λύκος (ὁ om.) H 18 κύων δὲ λαγωῷ om. A 19 πολλὰ om. TC ποτ' A

[Ὅτι] τοὺς θρασεῖς καὶ δειλοὺς ὁ μῦθος ἐλέγχει, 79
τοὺς τολμηροὺς ἐν τοῖς λόγοις καὶ οὐκ ἐν τοῖς ἔργοις.

Λέοντός τις κυνηγὸς ἴχνη ἐπεζήτει· δρυτόμον δὲ ἐρωτήσας, εἰ οἶδεν ἴχνη λέοντος καὶ ποῦ κοιτάζει, ἔφη· „καὶ αὐτὸν τὸν λέοντά σοι ἤδη δείξω.“ ὁ δὲ ὠχριάσας ἐκ τοῦ φόβου καὶ τοὺς ὀδόντας συγκρούων εἶπεν· „ἴχνη μόνα ζητῶ, οὐχὶ αὐτὸν τὸν λέοντα.“

Ὅτι οὐ δεῖ τινα ἀσφαλείας τῆς ἑαυτοῦ γυμνω- 80
θῆναι, τοῖς ἀκαταλλάκτοις ἐχθροῖς δι' ὅρκων πεισθέντα.

Λύκοι πρέσβεις ἔστειλαν τοῖς προβάτοις, εἰρήνην ποιῆσαι μετ' αὐτῶν διηνεκῆ, εἰ τοὺς κύνας λάβωσι καὶ διαφθείρωσι. τὰ μωρὰ δὲ πρόβατα συνέθεντο τοῦτο ποιῆσαι. ἀλλά τις γέρων κριὸς εἶπεν· „πῶς ὑμῖν πιστεύσω καὶ συνοικήσω, ὅπου καὶ τῶν κυνῶν φυλαττόντων με ἀκινδύνως νέμεσθαι οὐ δυνατόν μοι;“

Ὅτι καὶ καιροὶ φέρουσι καὶ τόπων διαστάσεις 81
εὐτελίζεσθαι καὶ ἀτιμάζεσθαι παρὰ εὐτελῶν καὶ ἀγενῶν ἐνδόξους.

Λύκος διήρχετο ἔξωθεν τείχους, ἔνθα ἀρνὸς παρακύψας ὕβριζε πολλὰ τὸν λύκον. κἀκεῖνος τοὺς ὀδόντας τρίζων εἶπεν· „ὁ τόπος με λοιδορεῖ, σὺ μὴ καυχῶ.“

79 1 δηλοὺς N μῦθος B λόγος NCH 2 λόγοις μόνοις NCH 3 τις BA τινος NCH ἴχνη ἐζήτει κυνηγὸς NCH δρυοτόμον NCH 4 οἶδεν B (= γινώσκεις A) εἶδεν NCH κοιτάζῃ N 5 ἤδη σοι NCH ὠχριώσας N **80** 9 καταλλάκτοις N ὅρκον NC πεισθέντων B 15 μοι B ἐστι NCH **81** prom. deest ap. TC 16 καὶ (p. ὅτι) om. M καὶ τόπων B ἀτόπων (om. καὶ) M 17 ἀγενῶν B ἀγνώτων M 18 ἔνδοξοι B 19 τοίχους B λύκου M 20 κἀκεῖνος B τοὺς om. B τρίζων BM πρίων A 21 μὴ B μοι M

82 Ὅτι αὐτοὶ οἱ τοὺς νόμους δικαίως ὁρίζειν δοκοῦντες καὶ ἐν οἷς ὁρίζουσι καὶ δικάζουσιν οὐκ ἐμμένουσιν.

Λύκος τῶν λοιπῶν στρατηγήσας λύκων νόμους ἔταξε πᾶσιν, ἵνα, εἴ τι ἂν ἕκαστος κυνηγήσῃ, πάντα εἰς μέσον ἄξῃ καὶ μερίδα ἴσην ἑκάστῳ δώσῃ, ὅπως μὴ οἱ λοιποὶ ἐνδεεῖς ὄντες, ἀλλήλους κατεσθίωσιν. ὄνος δὲ παρελθὼν τὴν χαίτην σείσας ἔφη· „ἐκ φρενὸς λύκου καλὴ γνώμη· ἀλλὰ πῶς σὺ τὴν χθεσινὴν ἄγραν τῇ κοίτῃ ἐναπέθου; ἄγε ταύτην εἰς μέσον ἀπομερίσαι.“ ὁ δὲ ἐλεγχθεὶς τοὺς νόμους ἀνέλυσεν.

83 Ὅτι γνώμην κακούργου καὶ πονηροῦ πλεονέκτου λόγος οὐ πείθει, κἂν ἀληθὴς ὑπάρχῃ.

Λύκος ποτὲ ἄρνα πεπλανημένον εὑρὼν βίᾳ μὲν οὐχ ἥρπαζεν, ἔγκλημα δὲ ἐζήτει εὐλόγως φαγεῖν θέλων. „σύ“ εἶπεν „πέρυσι μικρὸς ὢν ὕβρισάς με.“ ὁ δέ· „πῶς ἐγὼ πέρυσι, ὃς ἐν τούτῳ ἐγεννήθην τῷ χρόνῳ;“ „ἀλλὰ“ φησὶ „τὴν ἄρουράν μου ἐπιβόσκῃ.“ ὁ δέ· „οὐδέπω ἐβοσκήθην.“ „ἀλλ' ἐκ τῆς πηγῆς, ἐξ ἧς πίνω, πίνεις.“ ὁ δὲ ἔφη· „οὔπω ὕδωρ ἔπιον, ἀλλὰ τῆς μητρὸς μόνης τὸ γάλα πίνω καὶ τρέφομαι.“ ὁ δὲ συλλαβὼν καὶ

82 1 δοκοῦνται B 2 ἐμμένουσι M 3 λύκων στρατηγήσας M ἔταζε B 4 εἴ τι ἂν BM ὅτι ἂν Eberhard κυνηγήσει M πάντα B πάντων M 5 ἄξει M δώσει M cf. indic. 6 ἀλλήλως B κατεσθίουσιν M 7 χαίτην σ erasae in M ἔφη· ἐκ φρενὸς B ἐκφωνεῖ M καλῆς γνώμης M 8 χθεσηνὴν M τὴν κοίτην M 9 ἀπομερίσαι Eberhard ἀπομερίσας BM cf. indic. 10 ἔλυσεν M
83 15 σὺ εἶπεν B σὺ δή (με) A πέρισυ (bis) B

τρώγων εἶπεν· „ἀλλ᾽ ἐγὼ ἄδειπνος οὐ μενῶ ἐν τῷ σε πᾶσάν μου ἀφορμὴν λύειν.“

Ὅτι γνώμην κακούργου καὶ πονηροῦ πλεονέκτου λόγος οὐ πείθει, κἂν ἀληθὴς ὑπάρχῃ. **84**

Λύκου λαιμῷ ὀστοῦν ἐνεπάγη. ὁ δὲ γεράνῳ μισθὸν παρέξειν ἔφη, εἰ τὴν κεφαλὴν ἐμβαλὼν τὸ ὀστοῦν ἀνασπάσει καὶ τοῦ πόνου λύσει. ὁ δὲ ἐμβαλὼν τὸ ὀστοῦν βίᾳ ἐξέσπασε καὶ τοὺς μισθοὺς ᾔτει. ὁ δὲ τοὺς ὀδόντας δείξας εἶπεν· „ἀρκεῖ σοι εἰς μισθόν, ὅτι ἐκ στόματος λύκου κεφαλὴν σώαν ἐξῆξας.“

[Ὅτι] ἅρπαγας καὶ πλεονέκτας λῃστὰς ἔν τινι πταίσματι κειμένους καὶ ἀλλήλους μεμφομένους ὁ μῦθος ἐλέγχει. **85**

Λύκος ποτὲ ἄρας πρόβατον ἐκ ποίμνης ἐκόμιζεν εἰς κοίτην· λέων δὲ αὐτῷ συναντήσας ἀφείλετο τὸ πρόβατον. ὁ δὲ πόρρωθεν σταθεὶς εἶπεν· „ἀδίκως ἀφείλου τὸ ἐμόν.“ ὁ δὲ λέων γελάσας ἔφη· „σὺ γὰρ δικαίως ὑπὸ φίλου ἐδέχθης.“

Ὅτι ἐν μιᾷ βουλῇ καὶ γνώμῃ πάντων τῶν στρατευμάτων ὄντων κατὰ τῶν ἐναντίων νίκην ποιοῦνται. **86**

1 μένω B 2 πᾶσαν μου B **84** 5 γεράνῳ B ἐρῳδιῷ A 6 ἔφη add. om. B ἔφασκε A ἐμβαλὼν vel καταβαλὼν? βαλὼν B 7 βαλὼν B 8 τὸν μισθὸν A 10 ἐξήξας B **85** 11 Ὅτι BNC: om. H ἔν τινι em. ἐνί πταίσματα B ἐν (om. N) ἐνὶ πταίσματι NCH 12 μῦθος B λόγος NCH 14 ποιμνίου NCH ἐκόμιζεν αὐτὸ NCH 15 ἀφεῖλε NC 16 ἀφείλω B ἄφελου N 17 σὺ B σοὶ NCH 18 ἐδέχθης B ἐδόθη. NCH
86 prom. deest ap. TCH

Λύκοις καὶ κυσὶν ἦν ποτε ἔχθρα. κύων δὲ Ἕλλην ᾑρέθη στρατηγὸς κυσίν. οὗτος πρὸς τὴν μάχην ἐβράδυνεν. οἱ δὲ λύκοι ἠπείλουν σφοδρῶς. ὁ δὲ εἶπεν· „οἴδατε, τίνος χάριν βραδύνω; πρέπον ἐστὶν ἀεὶ προβουλεύεσθαι· ὑμῶν γὰρ τὸ γένος καὶ ἡ χρόα πάντων ἕν ἐστιν· οἱ ἡμέτεροι δὲ ἐκ πολλῶν τρόπων εἰσὶ καὶ τοῖς τόποις καυχῶνται· ἀλλὰ καὶ ἡ χροιὰ πάντων οὐκ ἔστι μία καὶ ἴση, ἀλλ' οἱ μὲν μέλανες, οἱ δὲ πυρροὶ, οἱ δὲ λευκοὶ, οἱ δὲ τεφρώδεις. καὶ πῶς ἂν δυνηθείην εἰς πόλεμον ἄρχειν τῶν ἀσυμφώνων καὶ μὴ ὅμοια πάντα ἐχόντων;"

87 Ὅτι ἐκ θεοῦ λογικῶν τιμηθέντων πάντων ἀνεπαισθήτως ἔχουσί τινες τῆς τοιαύτης τιμῆς καὶ μᾶλλον ζηλοῦσι τὰ ἀναίσθητα καὶ ἄλογα ζῷα.

Λέγουσι πρῶτον τὰ ζῷα πλασθῆναι καὶ χαρισθῆναι αὐτοῖς παρὰ θεοῦ τῷ μὲν ἀλκὴν, τῷ δὲ τάχος, τῷ δὲ πτερά. τὸν δὲ ἄνθρωπον γυμνὸν ἑστῶτα εἰπεῖν· „ἐμὲ μόνον καταλιπεῖν ἔρημον χάριτος!" τὸν δὲ Δία εἰπεῖν· „ἀνεπαισθήτως εἶ τῆς δωρεᾶς καίτοι τοῦ μεγίστου τετυχηκώς· λόγον γὰρ ἔχεις λαβὼν, ὃς παρὰ θεοῖς δύναται καὶ παρὰ ἀνθρώποις τῶν δυνατῶν δυνατώτερος καὶ τῶν ταχίστων ταχύτερος." καὶ τότε ἐπιγνοὺς τὸ δῶρον ὁ ἄνθρωπος προσκυνήσας καὶ εὐχαριστήσας ᾤχετο.

1 ποτὲ B 5 χροιὰ H ὧν ἐρῶ A 6 ἔνεστιν B δ' ἐκ H 7 ἁπάντων TCH 8 ἀλλ' οἱ B Suidas s. v. διάργεμοι. ἄλλοι A πυροὶ B 9 οἱ δὲ τεφρώδεις CH καὶ τεφρόδεις B: om. A **87** cf. Ztschr. f. öst. Gymn. p. 163 18 κατελιπες? 19 τετυχικὼς B 22 ἐπιγνοῦς B

Ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία λόγου παραίνεσις ἐπιρρώννυσιν. 88

Μόσχος πρὸς τὴν ἔλαφον εἶπεν· „σὺ καὶ μεγέθει μείζων εἶ τῶν κυνῶν καὶ ταχύτητί διαφέρεις καὶ κέρατα πρὸς ἄμυναν ἔχεις· τί οὖν τοσοῦτον φοβεῖ τοὺς κύνας;“ καὶ ἡ ἔλαφος ἔφη· „ὅτι μὲν ταῦτα πάντα ἔχω, οἶδα· ὑλακῆς δὲ εἰ ἀκούσω, τὸν λογισμὸν σκοτοῦμαι καὶ ὅλη τῆς φυγῆς γίνομαι.“

Ὅτι μεγίστην βλάβην καὶ θανάτου παραιτίαν οἶδε ποιεῖν τῶν κακῶν ἡ συνοικία. 89

Μάνδρας ἔσω πρόβατα εἰσάγων ποιμὴν μετ' αὐτῶν καὶ λύκον ἤμελλε συγκλεῖσαι, εἰ μὴ ὁ κύων ἰδὼν πρὸς αὐτὸν εἶπεν· „πῶς τὰ πρόβατα θέλων σῶσαι τοῦτον εἰσάγεις ἔσω;“

Ὅτι οὐ δεῖ τινα ἐν ταῖς δόξαις καὶ τοῖς λαμπροῖς τοῦ βίου τυφοῦσθαι· ὅσα γὰρ ἂν κτήσηταί τις, ξένα τυγχάνει. 90

88 1 δειλοὺς postremae quattuor literae in B evanuerunt. 2 ἐπιρρώνυσιν B 3 Μόσχος B cf. F adnot. ad fab. 120 C adnot. ad fab. p. 309 5 φοβῇ B
89 prom. deest ap. N 9 θάνατον CH παραιτίαν om. CH 10 ποιεῖν B προσφέρειν CH ἡ τῶν κακῶν συνουσία CH 11 εἴσω NCH ποιμὴν εἰσάγων NCH μετ' αὐτῶν καὶ om. NCH 12 συγκλῆσαι B συγκλείειν A ὁ μηνύων B εἰ μὴ κύων NCH ὁ κύων δὲ A ἰδὼν τοῦτον εἶπε πρὸς τὸν ποιμένα NCH 13 σῶσαι θέλων NCH τοῦτον εἰσάγεις ἔσω B τόνδε τὸν λύκον εἰσάγεις τῇ ποιμνῇ; NCH
90 15 ἐν τοῖς λαμπροῖς καὶ τῇ δόξῃ NCH 16 κτίσηταί B τις om. H

Μεθύων λύχνος ἐλαίῳ καὶ φέγγων ἐκαυχᾶτο, ὡς ὑπὲρ ἥλιον πλέον λάμπει. ἀνέμου δὲ πνοῆς συρισάσης εὐθὺς ἐσβέσθη. ἐκ δευτέρου δὲ ἅπτων τις εἶπεν αὐτῷ· ,,φαῖνε, λύχνε, καὶ σίγα· τῶν ἀστέρων τὸ φέγγος οὔποτε ἐκλείπει.“

91 Ὅτι τοὺς μεμψιμοίρους πρέπον ἐστὶν ὀρθὰ βιοῦν καὶ βαδίζειν καὶ τότε ὅμοια διδάσκειν.

,,Μὴ λοξὰ περιπατεῖν“ καρκίνῳ μήτηρ ,,μηδὲ τῇ ὑγρᾷ πέτρᾳ τὰς πλευρὰς προστρίβειν.“ ὁ δὲ εἶπεν· ,,μῆτερ, σὺ, ἡ διδάσκουσα, ὀρθὰ βάδιζε, καὶ βλέπων σε ζηλώσω.“

92 Ὅτι πολλάκις, ἐν ᾧ τις εὐτύχησεν, ἐν αὐτῷ καὶ πίπτει.

Μικρέμπορός τις ὄνον ἔχων εὐώνους ἅλας ἠγόρασε καὶ σφοδρῶς τὸν ὄνον ἐφόρτωσεν. ὁ δὲ ἄκων ὀλισθήσας εἰς ὕδωρ ἔπεσε καὶ λυθέντων τῶν ἁλῶν ἐλαφρύνθη· εὐκόλως δὲ ἠγέρθη καὶ περιεπάτει ἀκόπως. ὁ δὲ ἔμπορος πάλιν ἑτέρους ἦλθεν ἀγοράσων, καὶ πλείονας ἢ πρότερον τὸν ὄνον φορτώσας ἦγεν. ὁ δὲ πάλιν ἑκὼν εἰς τὸ ῥεῖθρον πεσὼν ἐλαφρύνθη. ὁ δὲ ἔμπορος τέχνην ἑτέραν νοήσας σπόγγους ὠνησάμενος πεφορτώκει τὸν ὄνον. ὁ δὲ ὄνος, ὡς προσῆλθε τῷ ῥείθρῳ, ἑκὼν κατέπεσε. τῶν δὲ σπόγγων διαβραχέντων βάρος διπλοῦν ἦγε βαστάζων.

1 ἐν ἐλαίῳ NC 2 πνοῇ C συρίσαντος A συρρεύσαντος BNC 3 δὲ om. B τίς B 4 φαῖνε λύχνε καὶ σίγα BN βαιὸν ἦν λύχνου πνεῦμα A 5 ἐκλίπει B ἀποθνήσκει A **91** 8 μὴ δὲ B 10 βάδιζε B ἄπελθε A 11 ζηλώσω B ποιήσω A **92** 12 τίς B 14 Μικρέμπορος B μικρὸς ἔμπορος A εὔωνον B 15 ἐφόρτοσεν B 16 ἠλαφρύνθη Lachmannus

Ὅτι μηδείς, ὃ μὴ ἔμαθε μηδὲ ἐκ πείρας ἔχει, πειράτω ποιεῖν· σὺν τῇ ἀπειρίᾳ γὰρ καὶ κακόν τι προσλήψεται. 93

Μίμηλόν ἐστι φύσει ζῷον ἡ πίθηκος. μία οὖν ἐπὶ τοῦ αἰγιαλοῦ ἑστῶσα εἶδεν ἐπὶ τοῦ χείλους τῆς θαλάσσης ἡπλωμένον καὶ ἡλιαζόμενον δίκτυον· τοῦτο ἄρασα ἐπειρᾶτο εἰς βυθὸν βαλεῖν. τὸ δὲ ἐπὶ τοῦ τραχήλου εἰληθὲν εἷλκε τὴν μιμὼ κατὰ τοῦ βυθοῦ. ἡ δ' ἠλάλαζεν, ὅτι „μηδείς, ὃ μὴ ἔμαθεν, μηδὲ ποιείτω.“

Ὅτι λιτῶς διάγειν καὶ ζῆν ἀταράχως συμφέρει ἢ ἐν φόβῳ καὶ κινδύνῳ δαψιλῶς τρυφᾶν. 94

Μύες δύο, ὁ μὲν ἀρουραῖος, ὁ δὲ οἰκόσιτος, κοινὸν εἶχον τὸν βίον. ὁ δὲ οἰκόσιτος ἦλθε πρῶτος δειπνήσων ἐπὶ τῆς ἀρούρης ἔτι ἀνθούσης. τρώγων δὲ σῖτον καὶ ῥίζας σὺν τοῖς βώλοις εἶπεν· „μύρμηκος ζῇς βίον ταλαιπώρου, ἐμοὶ δὲ πολλὰ ἔνεστιν ἀγαθά· τὸ κέρας οἰκῶ τῆς Ἀμαλθείας ὡς πρὸς σέ· ἐὰν ἔλθῃς μετ' ἐμοῦ, ὡς θέλεις, ἀσωτεύσῃ.“ ἀπῆγε πείσας τὸν μῦν ἐν τῷ οἴκῳ. ἔδειξε δὲ αὐτῷ σῖτον καὶ ἄλευρα καὶ ὄσπρια καὶ σῦκα καὶ μέλι καὶ φοίνικας. οὗτος δὲ ἐτέρφθη καὶ διεχύθη. ὁ δὲ ἤγαγε καὶ τυρὸν ἐκ κανισκίου σύρων. ἤνοιξέ τις τὴν θύραν· οἱ δὲ ἔφυγον εἰς στενὴν τρώγλην· ἐτζύριζον δὲ ὑπ' ἀλλήλων στενούμενοι. ὡς δὲ πάλιν ἦλθεν ἐκκύψαι

93 1 μὴ δὲ B 9 ἔμαθεν em. ἔλαθεν B μὴ δὲ B
94 prom. deest ap. TCH 11 τρυφῇ B 14 ἀρούρας CH 15 τοῖς BTC ταῖς H βόλοις BA m. pr. εἶπε CH ταλαίπωρε CH 16 ἔνέστιν B 17 ἀμαλθίας B 19 αὐτὸν B σύκα B 21 κανισχίου B 22 οἱ δ' H ἐσύριζον C ἔτριζον H 23 ἦλθεν BTC ἤμελλεν H

καὶ μικρὰν ἰσχάδα σῦραι, ἕτερος ἦλθεν ἄλλο τι ἆραι. οἱ δὲ ἔνδον ἐκρύπτοντο. ὁ δὲ ἀρουραῖος μῦς καίπερ τοσαῦτα πεινῶν εἶπε· „χαῖρε καὶ πλούτει καὶ τρύφα ἔχων τὰ πάντα μετὰ κινδύνων· ἐγὼ δὲ βοτάνας καὶ ῥίζας τρώγων ἀφόβως καὶ λιτῶς ζήσω.“

95 Ὅτι μηδεὶς θεοὺς βλασφημείτω συμφορᾶς ἐπελθούσης, μᾶλλον δὲ σκοπείτω τὰς οἰκείας ἁμαρτίας.

Ναῦν ποτε μετὰ τῶν ἀνδρῶν βυθισθεῖσαν ἰδών τις ἀδίκως ἔλεγε τοὺς θεοὺς κρίνειν· „δι' ἕνα γὰρ ἀσεβῆ συναπώλοντο καὶ ἀναίτιοι.“ ταῦτα αὐτοῦ λέγοντος μυρμήκων πολλῶν ὄντων ἐν τῷ τόπῳ, ἐν ᾧ ἔτυχε ἱστάμενος, συνέβη ὑφ' ἑνὸς δηχθῆναι τοῦτον. ὁ δὲ ὑφ' ἑνὸς δηχθεὶς συνεπάτησε τοὺς πάντας. Ἑρμῆς δὲ ἐπιστὰς αὐτῷ καὶ τῇ ῥάβδῳ παίων εἶπεν· „εἶτα οὐκ ἀνέχῃ σὺ τοὺς θεοὺς δικαστὰς εἶναι, οἷος εἶ σὺ τῶν μυρμήκων;“

96 [Ὅτι] τοὺς ἀδίκῳ γνώμῃ τυραννοῦντας τοὺς πέλας ἐν παραβάσει νόμου ὁ μῦθος ἐλέγχει.

Ξένη χελιδὼν ἡ τοῖς ἀνθρώποις συνοικοῦσα ἐν δικαστηρίῳ τὴν καλιὰν αὐτῆς ἔπηξεν ἐν τοίχῳ, κἀκεῖσε

1 σῦραι BC ἄλλό τι B ἆραι B οἱ δ' H 2 τοσαῦτα B τοιαῦτα A 3 πεινῶν BTC δειπνῶν AH 95 prom. deest ap. TC; epim. ap. H ex cod. A sumptum est. 6 θεοῦ B 7 σκοπείτω em. σκοπεῖτε B 8 ποτὲ B τίς B 12 τοῦτον BTC τούτων H 13 δαχθεὶς B ἑρμῆς B δ' H 15 ἀνέχεις B 96 prom. deest ap. NCH 19 Ξένη BNCH Ξουθὴ A ἡ B: eiecit C 20 καλλιὰν B τὴν ἑαυτῆς (αὐτῆς H) ἔπηξε καλιὰν NCH κἀκεῖσε B κἀκεῖ NCH cf. indic.

νεοττῶν ἑπτὰ γίνεται μήτηρ. ὄφις δὲ ἐκ τρώγλης συρεὶς πάντας κατέφαγεν. ἡ δὲ χελιδὼν θρηνοῦσα· „οἴμοι“ ἔλεγεν „ὅτι, ἔνθα πάντες δικαιοῦνται, ἐγὼ ἠδικήθην.“

Ὅτι οὐδὲν πλέον ὠφελήσῃ πονηρὸν ἄνδρα τιμῶν, 97
ἀτιμάζων δὲ μᾶλλον ὠφεληθήσῃ.

Ξύλινόν τις εἶχε θεόν. τούτῳ καθ᾽ ἑκάστην ἔθυε καὶ ηὔχετο ἀγαθοποιῆσαι αὐτόν. ὡς δὲ χρόνῳ πολλῷ τοῦτο ποιῶν μᾶλλον ἐπένετο, θυμωθεὶς καὶ τοῦ σκέλους ἄρας χαμαὶ ἀπέκρουσεν. χρυσὸς δὲ τῆς κεφαλῆς κλασθείσης ἔρρευσεν· ὃν συναγαγὼν ὁ ἄνθρωπος εἶπεν· „στρεβλός τις εἶ καὶ ἀγνώμων, ὅς με θύοντα καὶ προσκυνοῦντά σε οὐδὲν ὠφέλεις, ὑβρίσαντα δέ σε ἀγαθοῖς πολλοῖς ἠμείψω.“

Ὅτι κάκιστος βίος καὶ πονηρὸς τοῖς ἀνθρώποις 98
ἔσται, ὅτε τὸ ψεῦδος προκρίνεται τῆς ἀληθείας.

Ὁδοιπορῶν τις ἐν ἐρήμῳ εὗρε γυναῖκα μόνην κατηφῆ ἑστῶσαν καί φησιν αὐτῇ· „τίς εἶ;“ ἡ δὲ ἔφη· „Ἀλήθεια.“ „καὶ διὰ ποίαν αἰτίαν τὴν πόλιν ἀφεῖσα τὴν ἐρημίαν οἰκεῖς;“ ἡ δὲ εἶπεν, ὅτι „τοῖς πάλαι καιροῖς παρ᾽ ὀλίγοις ἦν τὸ ψεῦδος, νῦν δὲ εἰς πάντας ἀνθρώπους ἐστίν, ἐάν τι ἀκούειν καὶ λέγειν θέλῃς.“

1 γίνεται (τῶν N) ἑπτὰ νεοττῶν NCH τρόγλης N 2 πάντας B τοὺς ἑαυτῆς N τοὺς αὐτῆς CH κατέφαγε νεοττούς NCH θρηνοῦσα ἐκεκράγει· οἴμοι τῇ ξένῃ NCH 3 ἐγὼ ἠδικήθην B μόνη ἔγωγε ἠδίκημαι ἀδίκως N: ἀδίκως om. CH
97 4 ὠφελήσεις B 6 τοῦτο B 9 ἄρας B 11 εἶ addidi: om. B 98 prom. deest ap. TCH 15 προσκρίνεται B 16 Ὁδυπορῶν τίς B 17 καὶ φησὶν BC 21 θέλεις B

99 Ὅτι πένης καὶ ἰδιώτης ὢν μὴ μιμοῦ τὰ τῶν πλουσίων, μή ποτε καταγελασθῇς καὶ κινδυνεύσῃς.

Ὄνος δορὰν λέοντος ἐπενδυθεὶς λέων ἐνομίζετο πᾶσιν· καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. ὡς δὲ ἀνέμου πνεύσαντος ἡ δορὰ περιῃρέθη καὶ γυμνὸς ὁ ὄνος ἦν, τότε δὴ πάντες ἐπιδραμόντες ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

100 Ὅτι τοῖς περιέργοις πολλάκις μέγιστον κακὸν συνέβη κακῶς τῇ περιεργείᾳ χρωμένοις.

Ὁ λαγωὸς τῇ ἀλώπεκι· „ὄντως πολλὰ κερδαίνεις ἢ ἔχεις, ὅτι ὄνομά σοι κερδώ ἐστιν;“ ἡ δὲ ἀλώπηξ· „εἰ ἀπιστεῖς,“ ἔφη „δεῦρο, ἐγὼ ἑστιῶ σε.“ ὁ δὲ ἠκολούθει· καὶ ἦν ἔνδον οὐδὲν ἢ ὁ λαγωὸς δεῖπνος τῇ ἀλώπεκι. ὁ δὲ λαγωὸς ἔφη· „σὺν κακῷ μέν, ἀλλ᾽ ἔμαθόν σου τὸ ὄνομα πόθεν ἐστίν· οὐκ ἀπὸ τοῦ κερδαίνειν, ἀλλ᾽ ἀπὸ τοῦ δολοῦν.“

101 Ὅτι τοῖς δυστυχοῦσιν οὐ τὴν τυχοῦσαν παραμυθίαν φέρει τὸ καὶ ἑτέρους χείρονα παθόντας ὁρᾶν.

Οἱ λαγωοὶ πάντες εἰς ἓν συνελθόντες εἶπον· „ἀβίωτός ἐστιν ἡμῶν ὁ βίος· καὶ γὰρ ἀετοὶ καὶ κύνες καὶ ἄνδρες ἡμᾶς καταπονοῦσιν. βέλτιον οὖν ἐστιν ἡμᾶς ῥῖψαι ἑαυτοὺς ἐν τῇ πλησίον λίμνῃ καὶ διαφθαρῆναι.“ ταῦτα εἰπόντες ἀπῄεσαν. οἱ δὲ ἐπὶ τῆς ὄχθης καὶ τοῦ χείλους

99 2 μήποτε BNC τὸ γὰρ ξένον ἀνοίκειον addunt in fine epim. NCH 4 πᾶσι NCH 6 δὴ om. NCH 7 ἔπαιον BCH ἔτενον N **100** cf. Ztschr. f. öst. Gymn. 1876 p. 163 9 χρώμενος B 14 συνκακῶμεν B **101** 17 δυστυχοῦσι B 21 ῥίψαι B 23 ἀπίεσαν B

τῆς λίμνης βάτραχοι τούτους ἰδόντες ἔρριψαν ἑαυτοὺς ἐν τῇ λίμνῃ ἐκ τοῦ φόβου. εἷς δέ τις γέρων λαγωὸς ἔφη· ,,στῆτε καὶ μὴ ἀπογνῶμεν ἑαυτῶν· εἰσὶ γὰρ, ὡς ὁρᾶτε, καὶ ὑπὲρ ἡμᾶς ἄλλοι δειλότεροι.“

Ὅτι οἱ τὰς ἑαυτῶν πατρίδας προδιδόντες τοιούτους 102
μισθοὺς λαμβάνουσιν.

Οἱ λύκοι τοῖς κυσὶν εἶπον· ,,διὰ τί ὅμοιοι ὄντες ἡμῖν ἐν πᾶσιν οὐχ ὁμοφρονεῖτε ἡμῖν ὡς ἀδελφοί; οὐδὲν γὰρ ὑμῶν διαλλάττομεν πλὴν τῇ γνώμῃ· καὶ ἡμεῖς μὲν ἐλευθερίᾳ συζῶμεν, ὑμεῖς δὲ τοῖς ἀνθρώποις ὑποκύπτοντες καὶ δουλεύοντες πληγὰς παρ' αὐτῶν ὑπομένετε καὶ κλοιὰ περιτίθεσθε καὶ φυλάττετε τὰ πρόβατα. ὅτε δὲ ἐσθίουσιν, μόνα τὰ ὀστᾶ ὑμῖν ἐπιρρίπτουσιν. ἀλλ' ἐὰν πείθησθε, πάντα τὰ ποίμνια ἔκδοτε ἡμῖν καὶ ἕξομεν πάντα κοινὰ εἰς κόρον ἐσθίοντες.“ ὑπήκουσαν πρὸς ταῦτα οἱ κύνες. οἱ δὲ ἔνδον τῶν σπηλαίων πρότερον τοὺς κύνας διέφθειραν.

Ὅτι τοὺς πλουσίους καὶ τοὺς ἐν ταῖς ἀρχαῖς οὐ 103
δεῖ ζηλοῦν, ἀλλὰ τὸν κατ' ἐκείνους φθόνον καὶ κίνδυνον λογισαμένους ἀγαπᾶν πενίαν, ἡσυχίας μητέρα.

4 ἡμᾶς em. ἡμῶν B **102** 5 οἱ om. N 6 λαμβάνουσι NCH 8 ὁμοφρωνεῖτε M ἡμῖν om. M ἀδελφοῖς M 9 ὑμῶν NCH ἡμῶν BM διαλάττομεν B διαλάμπομεν M 10 ὑποκρύπτοντες N 11 ὑπομένητε N 12 περιτίθεσθαί M φυλάττετε καὶ MNCH 13 ἐσθίουσι MNCH ὑμῖν BNCH ἡμῖν M ἐπιρρίπτουσι NH ἐπιρίπτουσι M 14 πείσησθε NCH πεισθῆτε M καὶ ἕξομεν om. MNCH 15 ἐσθίοντες BNCH ἔσονται M ὑπήκουσαν οὖν NCH 16 κῦνες M τῶν σπηλαίων B τοῦ σπηλαίου εἰσελθόντες MNCH 17 ἔφθειραν M

Ὄνος τὸν ἵππον ἐμακάριζε διὰ τὴν τροφὴν καὶ τὴν θεραπείαν, ἑαυτὸν δὲ ἐταλάνιζε καὶ τὴν ἑαυτοῦ τύχην, ὅτι ἀχθοφορεῖ καὶ ὀλίγη αὐτῷ ἐστιν ἡ τροφή, ὁ δὲ ἵππος κεκοσμημένος τῷ χαλινῷ καὶ προμετωπιδίοις καὶ κοῦφος αὐτῷ ὁ δρόμος. ταῦτα τοῦ ὄνου λογιζομένου ἐπέστη πολέμου καιρός. καὶ ὁ στρατιώτης μετὰ τῶν ὅπλων ἐπέβη τοῦ ἵππου καὶ μέσον τῶν πολεμίων εἰσίει. καὶ ὁ ἵππος [μέσος] τοῖς ξίφεσιν ἔκειτο τραυματίας καὶ ψυχορραγῶν. μετεβάλετο δὲ τὴν γνώμην ὁ ὄνος καὶ τὸν ἵππον ἠλέησεν.

104 Ὅτι, ὃ ἔχει τις, εἰς ἐκεῖνο ἀρκείσθω καὶ μὴ πλεονεκτείτω.

Ὁ Ζεὺς τῇ καμήλῳ κέρατα αἰτούσῃ καὶ λεγούσῃ, ὅτι „ταῦτά μοι λείπει", οὐ μόνον οὐ δέδωκεν, ἀλλὰ καὶ τῶν ὤτων ἐστέρησεν.

105 Ὅτι οὐ χρὴ θαυμάζειν διὰ τοὺς ἀδίκους καὶ πονηρούς, ὅτι τάχιον οὐκ ἀπολαμβάνουσιν ὑπὲρ τῶν ἀδικιῶν αὐτῶν.

Ὁ Ζεὺς τὰς τῶν ἀνθρώπων ἁμαρτίας ἐν ὀστράκοις τὸν Ἑρμῆν ὥρισε γράφειν καὶ εἰς κιβώτιον ἀποτιθέναι πλησίον αὐτοῦ, ὅπως ἑκάστου τὰς δίκας ἀναπράσσῃ. συγκεχυμένων δὲ τῶν ὀστράκων ἐπ' ἀλλήλοις τὸ μὲν βράδιον, τὸ δὲ τάχιον ἐμπίπτει εἰς τὰς τοῦ Διὸς χεῖρας, εἴποτε καλῶς κρίνοιτο.

103 8 μέσος B: unc. inclusi; fort. part. perf. pass. in μέσος latet: ἐληλαμένος? 9 μετεβάλλετο B **104** 11 τίς B 14 λίπει B οὐ (post μόνον) addidi: om. B **105** prom. deest ap. TC; epim. huius fab. ap. H ex Furiae fab. 365 sumptum est. 17 τάχειον B 19 κιβωτὸν CH 23 κρίνοι H

Ὅτι τινὲς διπλοῖς κινδύνοις περιπεσόντες καὶ τοῖς 106
ἐχθροῖς ὠφελεῖν πειρωμένοις δολίως ἀνταμοιβὴν κακὴν παρέσχον.

Ὄνος πατήσας σκόλοπα χωλὸς εἱστήκει. λύκον δὲ ἰδὼν καὶ φοβηθεὶς εἶπεν· „ὦ λύκε, ἀποθνήσκω ἐκ πόνου· καλὸν δέ μοί ἐστι, σοῦ δεῖπνον γενέσθαι ἢ γυπῶν καὶ κοράκων· χάριν δὲ μίαν αἰτῶ σε ἐξελεῖν τοῦ ποδός μου πρῶτον τὸν σκόλοπα.“ δακὼν ἐξεῖλεν. ὁ δὲ λυθεὶς τοῦ πόνου τὸν λύκον ἔτι χάσκοντα λακτίσας φεύγει, ῥῖνα καὶ μέτωπον καὶ ὀδόντας συγκλάσας. ὁ δὲ λύκος ἔφη· „οἴμοι δίκαια πάσχω, ὅτι μάγειρος μαθὼν πρῶτον νῦν ἱπποίατρος ἐγενόμην.“

[Ὅτι] τοὺς ἀπολλυμένους οἰκείᾳ ἀφροσύνῃ ὁ μῦθος 107
ἐλέγχει.

Ὄνος πλατείας ὁδοῦ ἐκτραπεὶς ἐπὶ κρημνὸν ἐφέρετο. τοῦ δὲ ὀνηλάτου ἐπιβοῶντος „ἄθλιε, ποῦ φέρῃ“ καὶ τῆς οὐρᾶς ἐπιλαβομένου καὶ ἕλκοντος πρὸς ἑαυτὸν τῆς εἰς τὸ πρόσω φορᾶς ὁ ὄνος οὐχ ἵστατο. ὁ δὲ ἔτι μᾶλλον ὠθήσας αὐτὸν ἔφη· „ὕπαγε, νίκα τὴν κακὴν νίκην ἐν τῷ ἀναθέματι.“

106 1 καὶ BNC: om. H 2 πειρομένοις B 3 παρέσχον NCH παρέχει B discrepantiam script. fabulae ap. NCH, ut quae multum a nostra differat, non apposui. 4 σκώλοπα B χολὸς B 6 μοι ἐστὶ B σου B 7 σε NCH σοι B ποδὸς μου B 8 σκώλοπα B 9 ἔτι τὸν λύκον χάσκοντα B ῥίνα B 11 ἱπποιατρὸς B
107 13 θος ἐλέγχει madore evanuerunt in B 16 φέρει B 19 ὕπαγενίκα B

108 Ὅτι οὐ δεῖ φλυάρων ἀνδρῶν κατηγορίας ἀκούειν· εἰς κίνδυνον γὰρ ἄγουσι τὸν ἀκούοντα.

Ὄνος ἀκανθώδεις παλιούρους ἤσθιε. τοῦτον δὲ ἰδοῦσα ἀλώπηξ εἶπεν· „πῶς οὕτω τῇ ἁπαλῇ γλώσσῃ τὸ σκληρὸν καὶ ἀκανθῶδες προσφάγιον ἐσθίεις;“

109 [Ὅτι] κτηνώδεις ἄνδρας τοὺς τετυφωμένους ἐπ᾽ ἀλλοτρίαις δόξαις ὁ μῦθος ἐλέγχει.

Ὄνῳ τις ἐπιθεὶς ξόανον ἦγε· πολλοὶ δὲ προσεκύνουν τῶν συναντώντων. ὁ δὲ ὄνος τυφωθεὶς νομίζων, αὐτὸν προσκυνεῖν τοὺς ἀγροίκους, σκιρτῶν ἤμελλε τὸν θεὸν ῥίψειν. ἀλλὰ τοῦτον ξύλοις παίων ὁ δεσπότης εἶπεν· „ὄνος εἶ θεὸν φέρων, οὐ θεοῖς ὁμότιμος.“

110 Ὅτι τὰ κατὰ σὲ καὶ πρὸς δύναμιν ποίει, τὰ ὑπὲρ σὲ δὲ μὴ ζήλου.

Ὄνυξιν ἄρας ἀετὸς ἄρνα ἤγαγε τοῖς παισὶ δεῖπνον. ταὐτὸ δὲ ποιῆσαι κολοιὸς ὡρμήθη· καὶ δὴ καταπτὰς ἐπὶ ἄρνα ἐκρατήθη τοῖς μαλλοῖς. οἱ δὲ παῖδες τοῦτον κρατήσαντες ᾔκιζον. ὁ δὲ κολοιὸς ἔφη· „δίκαια πάσχω· τί γὰρ κολοιὸς ὢν ἀετὸν ἐμιμούμην.“

108 3 δὲ om. NCH 4 ἡ ἀλώπηξ NCH εἶπε NCH
109 6 Ὅτι om. CH τοὺς om. CH τυφωμένους B 7 ἀλλοτρίοις (om. δόξαις) CH μῦθος B λόγος MNCH 8 Ὄνος τίς B δὲ BNCH ἀπαντῶντες M 9 τῶν συναντώντων om. M 10 αὐτὸν CH αὐτῷ M ἤμελλε BNCH ἤμενε M 11 θεὸν αὐτὸν M ῥίψαι MNC ῥῖψαι H ξύλῳ NCH 12 ἀλλ᾽ οὐ θεοῖς ὑπάρχεις ὁμότιμος MNCH **110** 15 ἄρας B 16 ταὐτὸ δὲ ποιῆσαι em. τοῦτο δὲ ποιήσας B 17 ἐκρατήθη cf. ind. μαλοῖς B

[Ὅτι] ὑποκριτὰς δολίους φιλεῖν λέγοντας ὁ μῦθος **111** ἐλέγχει.

Ὄρνις ποτὲ ἠσθένει. αἴλουρος δὲ προκύψας εἶπεν· „πῶς ἔχεις; τί χρήζεις; ἐγὼ δώσω σοι, μόνον ὑγίαινε.“ ἡ δὲ ἔφη· „ἐὰν ἀπέλθῃς, οὐκ ἀποθνήσκω.“

Ὅτι τοῖς παροῦσιν ἀρκείσθω τις καὶ τὴν ἀπλη- **112** στίαν φευγέτω.

Ὄρνιν τις εἶχε καλὴν χρυσᾶ ᾠὰ τίκτουσαν. νομίσας δὲ ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι καὶ θύσας εὗρεν οὖσαν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρεῖν καὶ τοῦ μικροῦ κέρδους ἐστέρητο.

[Ὅτι] ὁ παιδείας ἀμύητος ὑπάρχων πῶς ἑτέρους **113** παιδεύσει καὶ διορθώσεται;

Ὁ τῷ πηλῷ συζῶν βάτραχος εἰς γῆν ἐξελθὼν ἔλεγε πᾶσι τοῖς ζῴοις· „ἰατρός εἰμι φαρμάκων ἐπιστήμων, οἷος οὐδὲ ὁ τῶν θεῶν ἰατρὸς Παιών.“ „καὶ πῶς“ ἀλώπηξ „ἄλλους ἰάσῃ, ὃς ἑαυτὸν χλωρὸν ὄντα οὐκ ἰατρεύεις;“

Ὅμοιον. **114**

Ὅτε δρῦς ἰξὸν ἔφυε, βλάβην ὀρνέων, ἡ φρονιμωτάτη χελιδὼν εἶπε πᾶσιν ὀρνέοις τοῦτο κωλύσειν. τὰ δὲ ὡς οὐδὲν φρονοῦσαν ταύτην παρελογίσαντο καὶ ἠμέλησαν. τότε ἡ χελιδὼν ἱκέτευσε τοὺς ἀνθρώπους σύνοικον αὐτὴν

111 1 δολίως B 4 ὑγίανε B 5 ἐπέλθῃς B **112** 6 τίς B 7 φευγέτωσαν B 8 τίς B χρυσὰ B **113** 16 παίων B 17 ἄλλους B ἄλλον A **114** 20 δρὺς B

εἰσδέξασθαι. διὰ τοῦτο μόνης αὐτῆς τοῖς πτεροῖς ἰξὸς οὐδέποτε ἐκολλήθη.

115 Ὅτι τοὺς ἐν κινδύνοις ἀπείρως ἐμπεσόντας δεῖ πρότερον σώζειν, ἔπειτα διδάσκειν καὶ νουθετεῖν.

Οὔπω κολυμβᾶν μειράκιον μαθὸν ποταμὸν διειδῆ καὶ καλὸν θεωρῆσαν ἔρριψεν ἑαυτὸν γυμνὸν ὡς κολυμβήσων. τὸ ῥεῦμα δὲ αὐτὸ καὶ τὸ βάθος οὐκ εἴα στῆναι. τὸ δὲ βουκόλον ἐφώνει ἀπὸ τῆς ὄχθης τὰς χεῖρας ἐκτείνειν. ὁ δὲ τολμηρὸν ἐκάλει καὶ οὐκ ἐδίδου χεῖρα. τὸ δὲ εἶπεν· „ἄρτι μοι βοήθει· ἕξεις δὲ καιρὸν ἐλέγχειν, ὅτε σώσεις με.“

116 [Ὅτι] ἄνδρας δολίους καὶ κακοὺς καὶ τοῖς δεσπόταις ἐπανισταμένους ὁ μῦθος ἐλέγχει.

Οὐρά ποτε ὄφεως ἠξίου πρώτη προάγειν καὶ βαδίζειν· τὰ δὲ λοιπὰ μέλη ἔλεγον· „πῶς χωρὶς ὀμμάτων καὶ ῥινὸς ἡμᾶς ἄξεις, ὡς καὶ τὰ λοιπὰ ζῷα;“ ταύτην δὲ οὐκ ἔπειθον, ἕως τὸ φρονοῦν ἐνικήθη. ἡ οὐρὰ δὲ ἦρχε καὶ ἦγε σύρουσα τυφλὴ πᾶν τὸ σῶμα, ἕως εἰς βάραθρον πετρῶν ἐνεχθεῖσα τὴν ῥάχιν καὶ πᾶν τὸ σῶμα

115 5 μαθὸν em. μαθεῖν B διειδῆ em. διηδῆ B διεῖδε? 6 καὶ καλὸν θεωρῆσαν em. καὶ θ. καλὸν B 7 αὐτὸ em. αὐτῷ B 8 ἐκτεῖνον B 10 ὅταν σώσῃς με? **116** 12 Ὅτι om. CH 13 ἐπανισταμένοις M μῦθος B λόγος MNCH

14 Οὐρὰ ποτὲ B πρῶτον M 16 ταύτην BCH ταύτης N ταῦτα M 17 ἐνικήθην MN 18 εἶργε? M 19 ἐνεχθεῖσα BNCH ἐκχθεῖσα M τὴν ῥάχην M; nihil hoc loco mutandum: huius enim constructionis exemplum simillimum est ap. Leonem Gramm. 301, 2 ed. Bonn: καὶ ὁ μὲν Μιχαὴλ φωραθεὶς, παρὰ τοῦ Φωκᾶ ἀνηλεῶς τυφθείς, τήν τε ῥῖναν καὶ τὰ ὦτα ἀπετμήθη.

ἐπλήγη. σαίνουσα δὲ ἱκέτευε τὴν κεφαλήν· ,,σῶσον ἡμᾶς, εἰ θέλεις, δέσποινα· τῆς γὰρ κακῆς ἔριδος ἐπειράθην.“

Ὅτι θυμὸς οἶδεν δουλῶσαι καὶ ταπεινῶσαι ἄνδρα 117 γενναῖον [καὶ πρὸς ἄμυναν γενέσθαι τοῦ ἠδικηκότος].

Οὔπω χαλινὸν ἵππος ᾔδει οὐδὲ νῶτον ἀνθρώπῳ παρεῖχε πρὸς καθέδραν. σῦς δὲ αὐτὸν ἄγριος ἔβλαπτε τὴν χλόην, ἣν ἐνέμετο, κόπτων καὶ κατορύσσων καὶ τὸ ὕδωρ ταράσσων, ἔνθα ἔπινε. διὰ τοῦτο ὅμορος ἵππος πρὸς ἄμυναν τοῦ ἠδικηκότος συὸς διεγερθεὶς φιλίαν ἐσπείσατο μετὰ ἀνδρὸς ποικίλου, βοηθεῖν δὲ ἔλεγεν αὐτῷ καὶ ἐκδικήσειν κατὰ τοῦ βλάπτοντος ἐχθροῦ. ὁ δὲ εἶπεν· ,,ὅρκῳ πίστωσόν με, ὃ λέγω σοι, ποιήσειν.“ ὁ δὲ ἵππος ἐπείσθη. ὁ δὲ εἶπεν· ,,οὐ δυνατόν με πεζὸν ὄντα καταπολεμῆσαι τοῦτον· ἀλλ᾽ ἐὰν χαλινὸν δέξῃ καί με τοῖς νώτοις σου βαστάσῃς καὶ δῷς, ὅπως σε κάμπτω καὶ τρέχοντα κωλύω, ἐλπίζω τότε τὸν σῦν εὐκόλως ἀναιρήσειν.“ ὁ δὲ ἵππος ὑπὸ ὀργῆς τὰς φρένας τυφλωθεὶς παρέδωκεν ἑαυτὸν καὶ ὑπὸ τοῦ δοκοῦντος ὠφελεῖν ἐχειρώθη.

Ὅτι οὐδεὶς ἂν μίσους ἢ ἀμύνης ποτὲ ἐπιλάθοιτο, 118 ἐφ᾽ ὅσον βλέπει μνημόσυνον, δι᾽ ὧν ἐλυπήθη.

1 ἐπλήγη BM ἔπληγεν NH ἔπληγε C κεφαλὴν λέγουσα MNCH σῶον N 2 τῆς κακῆς γὰρ MNCH **117** cf. Zeitschr. f. öst. Gymn. 1876 p. 164 4 καὶ — ἠδικηκότος ut ex alio prom. sumpta inclusi. 6 σὺς B 7 κατωρρύσων B 8 ἔνθα B ἔνθεν Hartel ὁμωρὸς B 14 καί με Hartel καὶ B 16 σὺν B **118** 20 ἂν addidi: om. B ἐπιλάθηται M 21 ὅσον B ὃν? M δι᾽ ὧν B ἐν ᾧ M

Ὄφις ἐν γεωργοῦ προθύροις φωλεύων ἀνεῖλεν αὐτοῦ παῖδα νήπιον τύψας. πένθος δὲ μέγα τοῖς γονεῦσιν ἐγένετο. ὁ πατὴρ δὲ πληγεὶς ὑπὸ τῆς λύπης πέλεκυν λαβὼν ἔμελλε τὸν ὄφιν τῆς τρώγλης ἐξιόντα πατάξειν. ὡς δὲ ἐξέκυψε μικρόν, σπεύσας ὁ γεωργὸς τοῦ πλῆξαι ἠστόχησε· τὴν πέτραν δὲ μόνην τῆς ὀπῆς κρούσας καὶ διαχαράξας ἀπῆλθε λογιζόμενος, ὡς ἑρπετὸν μῆνιν οὐ φυλάσσει. λαβὼν δὲ ἄρτον καὶ ἅλας πρὸς εἰρήνην ἐκάλει τὸν ὄφιν. ὁ ὄφις δὲ λεπτὸν συρίσας εἶπεν· „οὐκ ἔστιν ἡμῖν ἀπάρτι πίστις ἢ φιλία, ἕως ἂν ἐγὼ ταύτην τὴν πέτραν ὁρῶ, σὺ δὲ τὸν τοῦ παιδὸς τάφον.“

119 Ὅτι καλὸν τὸ γινώσκειν τὰ ἐναντία καὶ τὸ μὲν καλὸν τιμᾶν, τὸ δὲ κακὸν φεύγειν, ἐκ πείρας δὲ πάντων.

Παῖς τις ἀκρίδας θηρεύων καὶ σκορπίον ἤμελλεν ἆραι ὡς γένος ἀκρίδος ὄντα. ὁ δὲ τὸ τοῦ παιδὸς ἁπλοῦν ἰδὼν τὸ οὐραῖον στήσας καὶ τὸ κέντρον ὀξύνας εἶπεν· „ἄπελθε καὶ σώζου, ὦ παῖ, μὴ κἀμὲ θηρεύων καὶ πάσας, ἃς ἔχεις, ἀπολέσῃς.“

120 Ὅτι τοῦτο ὄφελος τῷ ψεύστῃ, ἵνα, κἂν ἀλήθειαν λέγῃ, μὴ πιστεύηται.

Παῖς τις νέμων πρόβατα συνεχῶς ἐπὶ τὸ χῶμα ἀνιὼν ἐβόα· „λύκος· βοηθεῖτε.“ οἱ δὲ ἀγρόται τρέχοντες

4 πατάξαι M 5 πλῆξαι B 9 συρήσας M 10 ἕως ἂν B ἕως M 11 τοῦ παιδὸς τὸν τάφον M **119** 13 ἐκ- πείρας BM cf. fab. 93 πάντων B πάντα M 14 τίς BM 15 ᾇραι B 17 ὦ παῖ om. M κᾀμὲ B 18 ἀπολέ- σεις B ἀπωλέσεις M **120** 21 τίς B 22 ἀνιῶν B βοηθεῖται B

ἐκεῖσε εὕρισκον ψεῦσμα. τοῦ δὲ λύκου ἀληθῶς ἐλθόντος καὶ τοῦ παιδὸς βοῶντος οὐδεὶς ἐπίστευσε καὶ ἀπῆλθε πρὸς βοήθειαν. ὁ δὲ λύκος τὰ πρόβατα διέφθειρε.

Ὅτι πονηρὰ γνώμη καὶ αὐτὴν τὴν φύσιν ἀλλοιοῖ **121**
καὶ βλάπτει.

Πηρὸν ἀσπάλαξ καὶ τυφλὸν ζῷον. εἷς οὖν τὴν μητέρα θέλων φιλῆσαι ἀντὶ τοῦ στόματος τῷ αἰδοίῳ προσψαύει. τοῦτο δὲ ποιῶν τοὺς ἄλλους ἀδελφοὺς οὐκ ἔλαθεν. εἷς δὲ αὐτῶν εἶπεν· „ὡς θέλων τι μέγα ποιῆσαι καὶ πνοῆς, ἧς εἶχες, ἐστέρησαι δικαίως."

Ὅτι ὁ κατὰ φίλων αὐτοῦ δολίας μηχανὰς συντι- **122**
θεὶς αὐτὸς ἐν ταῖς ἐνέδραις τῶν κινδύνων ἐμπεσεῖται.

Πέρδικά τις θηρεύσας ἤμελλε σφάξαι. ἡ δὲ ἱκέτευε λέγουσα· „ἔασόν με ζῆν καὶ ἀντ' ἐμοῦ πολλὰς πέρδικας ἐγώ σοι κυνηγήσω." ὁ δὲ εἶπεν· „δι' αὐτὸ τοῦτο μᾶλλόν σε θύσω, ὅτι τοὺς συνήθεις καὶ φίλους σοι ἐνεδρεῦσαι θέλεις."

Ὅτι τοιοῦτός ἐστι πᾶς, ὃς κληρονόμος ἐστὶν **123**
οὐσίας, τῷ νοσοῦντι συναλγῶν καὶ προσποιούμενος κλαίειν ὑπούλως.

121 cf. Zeitschr. f. ö. Gymn. 1876 p. 165
4 ἀλλοιεῖ B 6 Πηρὸν em. πικρὸν B 9 θέλων τι em. θέλοντι B **122** epim. ap. H ex Furiae fab. 172 sumptum est. 11 φίλον BN φίλου M , αὐτοῦ C δολίως MNC μηχανὴν NC 12 ἐμπεσοῦται N 13 Πέρδικάν τις B πέρδικα τίς M 14 ἔασον ζῆν με M καὶ om. NCH ἀντὶ M 15 εἶπε M μᾶλλον σε BM **123** 18 τοιοῦτος ἐστὶ B πᾶς ἔστιν MNCH 19 οὐσίας — ὑπούλως om. NCH

Ποιμὴν σκύλακα εἴωθε τρέφειν ἐκ τῶν θνησκόντων προβάτων. καὶ δή ποτε ἐγγὺς ἀμνάδος νοσούσης ἱστάμενος εἶδε τὸν κύνα κατηφῆ καὶ δοκοῦντα δακρύειν· καὶ ὁμαλίζων αὐτὸν εἶπε· „καλῶς ποιεῖς συμπαθῶν, πλὴν ἀλλὰ μὴ γένοιτο μηδὲ συμβαίη, ὅπερ θέλεις.“

124 Ὅτι τολμηρὸν ἄνδρα καὶ αὐθαδῆ πολλάκις εἰς γῆν κατήγαγε συμφορὰ βίου.

Ποταμὸς δι' αὐτοῦ βύρσαν βοείαν φερομένην ἠρώτησε· „τίς καλεῖ;“ τῆς δὲ εἰπούσης· „σκληρὰ καλοῦμαι,“ ἐπικαγχλάσας τῷ ῥεύματι εἶπεν· „ἄλλο τι ζήτει καλεῖσθαι· ἐγὼ γὰρ ἤδη ἁπαλήν σε ποιήσω.“

125 Ὅτι δικαίως κακοὶ σὺν κακοῖς ἀπόλλυνται.

Ποταμοῦ πλησίον ἄμπελος ἦν· φραγμὸς δὲ ἦν αὐτῇ παλίουροι. πλημμύρας δὲ ὁ ποταμὸς ἐξέσυρε παλίουρον. συνέβη δὲ δράκοντα ταῖς φυλλίσι συμπλακέντα τῇ παλιούρῳ φέρεσθαι. εἶπε δέ τις ἰδών· „κακὴ μὲν ἡ ναῦς, ἀξία δὲ τοῦ ναύτου.“

126 Ὅτι πολλοὶ φεύγοντες δουλεύειν εἰρηνικοῖς δεσπόταις καὶ ἄκοντες εἰς πονηροὺς ἐνέπεσον.

Πόλεμον ἐμφύλιον βάτραχοι πολεμοῦντες ἀλλήλοις ᾐτήσαντο τὸν Δία, βασιλέα δοθῆναι αὐτοῖς τοῦ δι' ἐκεί-

1 εἴωθεν M εἰώθει H   θνησκώντων B   2 δήποτε NC   νοσόσης (υ om.) M   ἱστάμενον NCH   3 κῦνα M   4 εἶπεν NCH   5 γένηται BMNC   μὴ δὲ BM   συμβῇ BMNC   ὅπερ καὶ M   **124** 6 τολμηρῶν ἀνδρῶν καὶ αὐθαδῶν B   8 αὐτοῦ CH   βοΐαν B   φερωμένην B   9 καλεῖ em. καλὴ B   10 ἀλλ' ὅτι B   **125** 14 παλλίουροι B   15 φυλλίσι em. φωλίσι B   **126** 20 Πολέμω ἐμφυλίω B

νου τὰ αὐτῶν διοικεῖσθαι. καὶ ξύλου δοκὸν μέσον τῆς λίμνης ῥίψας διετάραξε τὸ ὕδωρ. πάντας δὲ βατράχους σιγῇ κατέσχεν ἐκπλαγέντας. χρόνῳ δέ τινι τοῦ ξύλου ἀκινήτως ὄντος κατεφρόνησαν, ὥστε καὶ ἐπιβάντες ἐπάνωθεν πολεμεῖν ἀλλήλοις. καὶ πάλιν ἐδέοντο τοῦ Διὸς τύραννον ἢ στρατηγὸν λαβεῖν. ὁ δὲ βδελυχθεὶς αὐτοὺς ὕδρον ἔδωκε διαφθείροντα τοὺς βατράχους.

Ὅτι οἱ τῇ φύσει δεινοὶ ἁρπάζειν καὶ πλεονεκτεῖν **127**
μαθόντες τοὺς διδάξαντας πολλάκις ἔβλαψαν.

Ποιμὴν μικρὸν λύκον εὑρὼν ἐθρέψατο, εἶτα σκύμνον γενόμενον ἐδίδαξεν ἁρπάζειν ἐκ τῶν σύνεγγυς ποιμνίων. ὁ λύκος δὲ διδαχθεὶς ἔφη· „ὅρα, μή πως σὺ ἐθίσας με ἁρπάζειν πολλὰ τῶν σεαυτοῦ προβάτων ζητήσῃς.“

Ὅτι δεῖ χρηστὰς ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν, **128**
τοὺς πονηροὺς δὲ φρονίμως τροποῦσθαι.

Ποτὲ ἀετὸς ἑάλω ὑπ' ἀνθρώπου. τούτου δὲ τὰ πτερὰ ὁ ἄνθρωπος κόψας ἀφῆκε μετὰ τῶν ὀρνίθων ἐν οἴκῳ εἶναι. ὁ δὲ ἦν κατηφὴς οὐδὲ ἤσθιεν ἐκ τῆς λύπης· ὅμοιος δὲ ἦν βασιλεῖ δεσμώτῃ. ἕτερος δέ τις τοῦτον ὠνησάμενος καὶ τὰ πτερὰ ἀνασπάσας καὶ μύρῳ χρί-

1 ξύλου em. ξύλον B **127** epim. huius fab. in M et Pal. quinto sequenti fab. additum est; cf. Neveleti adn. ad fab. 150 8 Ὅτι om. FCH 9 πλείονα ἔβλαψαν FCH

11 σύνεγχυς B **128** in M et Pal. quinto epim. antecedentis fabulae huic fab. additum. 14 τοὺς εὐεργέτας B

15 φρονήμως B 17 ὀρνήθων B 18 εἶναι om. M

οὐδὲ B καὶ οὐδὲ M καὶ οὐδὲν Pal. quint. (cf. Neveleti adn. ad fab. 150) 19 δεσμότῃ N 20 τὰ πτερὰ — χρίσας Pal. quint. (cf. N l. l.)

σας ἐποίησε πτερῶσαι. ὁ δὲ πετασθεὶς καὶ τοῖς ὄνυξι λαγωὸν ἁρπάσας ἤνεγκεν αὐτῷ δῶρον. ἀλώπηξ δὲ ἰδοῦσα εἶπεν· ,,μὴ τούτῳ δίδου, ἀλλὰ τῷ πρώτῳ, ὅτι ὁ μὲν φύσει ἀγαθός ἐστιν· ἐκεῖνον δὲ μᾶλλον ἐξευμενίζου, μή πως πάλιν λαβών σε τῶν πτερῶν ἐρημώσῃ.''

129 Ὅτι πολλαὶ φύσεις ἀνθρώπων εὐφυεῖς εἰσιν, ἀλλ᾽ ἐκ τῆς ῥᾳθυμίας ἀπώλοντο· ἐκ δὲ νήψεως καὶ σπουδῆς καὶ μακροθυμίας τινὲς καὶ φύσεως ἀργῆς περιεγένοντο.

Ποδῶν χελώνης κατεγέλα λαγωός. ἡ δὲ ἔφη· ,,ἐγὼ σὲ τὸν ταχύπουν νικήσω.'' ὁ δέ· ,,λόγῳ μόνῳ λέγεις τοῦτο· ἀλλ᾽ ἔριζε καὶ γνῶθι. τίς δὲ τὸν τόπον ὁρίσει'' ἔφη ,,καὶ βραβεύσει τὴν νίκην;'' ,,ἀλώπηξ'' ἔφη ,,ἡ δικαία καὶ σοφωτάτη.'' ἔταξε δὲ τὴν ἀρχὴν τῆς ὥρας τοῦ δρόμου. ἡ δὲ χελώνη μὴ ῥᾳθυμήσασα ἤρξατο τῆς ὁδοῦ. ὁ δὲ λαγωὸς τοῖς ποσὶ θαρρῶν ἐκοιμήθη. ἐλθὼν δὲ ἐπὶ τὸν ὡρισμένον τόπον εὗρε τὴν χελώνην νικήσασαν.

130 Ὅτι κρεῖσσον ὀλιγαρκούμενόν τινα διαμένειν, ἢ πρὸς ὀλίγον τρυφήσαντα μεταβολῆς δυστυχοῦς τυχεῖν ἢ καὶ ἀποθανεῖν.

Ῥόδῳ παραφυὲν ἀμάραντον ἔφη· ,,οἷον ἄνθος εὐπρεπὲς εἶ ποθητὸν καὶ θεῷ καὶ ἀνθρώποις. μακαρίζω

2 ἤνειχεν M 3 εἶπε M τοῦτο M 5 τὸ πτερὸν BM ἐρημώσει M **129** promythia fabularum 129 et 130 commutata sunt in B; in M epim. huius fab. sequenti additum est. 6 πολλαὶ B πολλῶν M φύσεις om. M 7 τῆς om. M ἀπώλλοντο B ἀπόλλονται M 16 ὁρισμένον B **130** 18 ὀλιγαρκούμενον τινὰ B 21 ἔφη πρὸς αὐτὸ MNCH 22 εἶ καὶ MN θεοῖς MNCH

σε τοῦ κάλλους καὶ τῆς εὐωδίας.“ τὸ δὲ εἶπεν· „ἐγὼ μέν, ὦ ἀμάραντον, πρὸς ὀλίγον καιρὸν ζῶ καί, κἂν μηδεὶς ἐκκόψῃ με, τήκομαι· σὺ δὲ ἀνθεῖς καὶ ζῇς ἀεὶ οὕτω νέον.“

Ὅτι πλεῖον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς **131** δυνάστας διεγείροντες πρὸς τὸ κακοποιῆσαι.

Σάλπιγγός τις ἦν ἐπιστήμων στρατὸν συνάγων εἰς συμβολὰς πολέμων. οὗτος αἰχμάλωτος ληφθεὶς ἱκέτευε μὴ κτείνειν αὐτόν, ὡς μήτε τινὰ φονεύοντα μήτε κουρσεύοντα, πλὴν τὸ χαλκοῦν τοῦτο βύκανον εἰδέναι. οἱ δὲ εἶπον· „διὰ τοῦτο μᾶλλον τεθνήξῃ, ὅτι σὺ μηδὲν ἰσχύων τοὺς ἄλλους διεγείρεις.“

Ὅτι τοῖς συνετοῖς καὶ ποικίλα φρονοῦσιν μᾶλλον **132** ἔπαινός ἐστιν ἢ τῇ φύσει εὐπρεπέσι καὶ μὴ τῇ γνώμῃ.

Στικτή ποτε πάρδαλις ἐκαυχᾶτο φορεῖν ἁπάντων ζῴων ποικιλωτέραν δέρριν. πρὸς ἣν ἀλώπηξ εἶπεν· „ἐγώ σου τῆς δορᾶς κρείττονα καὶ ποικιλωτέραν γνώμην ἔχω.“

[Ὅτι] τοὺς ἀχαρίστους καὶ βουλομένους τοὺς φίλους **133** πλεονεκτεῖν ὁ μῦθος ἐλέγχει.

Τράγος ἐν τῇ ἐκβολῇ τῆς ἀμπέλου τὴν βλάστην ἔτρωγε. τούτῳ προσεῖπεν ἡ ἄμπελος· „τί με βλάπτεις;

1 σε in ras. M 2 ἀμάραντε M 3 κόψῃ με NCH ἐκκόψομαι M ἀεί, καὶ ζῇς MNCH **131** 5 πλείω B 6 δυναστὰς B 9 μήτέ τινα B 11 τεθνήξει B **132** prom. deest ap. TCH 15 Στικτὴ ποτὲ B 16 ἡ ἀλώπηξ CH **133** 18 Ὅτι om. H Ὅτι καὶ N βουλευομένους B 19 ὁ μῦθος ἐλέγχει B ἐλέγχει ὁ λόγος NCH

μὴ γὰρ οὐκ ἔστι χλόη; ὅμως, ὅσον σοῦ θυομένου οἶνον χρήζουσιν, ἐγὼ παρέξω."

134 Ὅτι δεῖ πρότερον προσκοποῦντα τὰ τέλη τῶν πραγμάτων καὶ οὕτω ποιεῖσθαι τὰς τούτων ἐγχειρήσεις.

Τράγος ἐν θέρει σφοδρῶς διψήσας κατῆλθεν εἰς βαθύκρημνον φρέαρ πιεῖν. πιὼν δὲ καὶ χορτασθεὶς οὐκ ἠδύνατο ἀνελθεῖν· καὶ μετενόει καὶ βοηθὸν ἐζήτει. ἀλώπηξ δὲ τοῦτον ἰδοῦσα ἔφη· „ὦ ἀνόητε, εἰ τόσας φρένας εἶχες, ὅσας ἐν τῷ πώγωνι τρίχας, πρότερον οὐκ ἂν κατέβης, εἰ μὴ τὴν ἄνοδον ἐσκέψω."

135 Ὅτι, ἃ δὴ μέλλει συμβαίνειν τινὶ, ἐγκαρτερείτω τούτοις γενναίως, καὶ μὴ σοφίζεσθαι· οὐ γὰρ ἐκφευξεῖται.

Υἱόν τις μονογενῆ γέρων δειλὸς ἔχων γενναῖον καὶ κυνηγεῖν ἐφιέμενον, τοῦτον καθ' ὕπνους εἶδεν ὑπὸ λέοντος θανατωθέντα. φοβηθεὶς δὲ, μὴ ὕπαρ γένηται καὶ ἀληθεύσῃ ὄνειρος, οἴκημα κάλλιστον καὶ μετέωρον κατασκευάσας ἐκεῖσε τὸν υἱὸν παρεφύλαττε· ἐζωγράφησε δὲ καὶ τὸ οἴκημα πρὸς τέρψιν παντοίοις ζῴοις, ἐν οἷς καὶ λέων ἐμορφώθη. ὁ δὲ ταῦτα μᾶλλον ὁρῶν πλείω τὴν λύπην εἶχε. καὶ δή ποτε πλησίον τοῦ λέοντος στὰς· „ὦ κάκιστον θηρίον" εἶπε „διὰ σὲ καὶ τὸν ψεύστην ὄνειρον τοῦ ἐμοῦ πατρὸς γυναικείᾳ ἐνεκλείσθην φρουρᾷ. τί σοι

1 γὰρ om. NCH σου B **134** 4 καὶ om. NCH τὰς τούτων ἐγχειρήσεις om. NCH 5 βαθὺν κρημνὸν NC 6 φρέαρ B ὕδωρ NCH 10 ἄνωδον B ἔσκεψας N **135** 11 δὴ Hartel δεῖ B 12 ἐκφεύξηται B 14 Υἱὸν τίς B 15 καθύπνους B 17 ἀληθεύσει B

ποιήσω;“ καὶ εἰπὼν ἐπέβαλε τὴν χεῖρα τῷ τοίχῳ, ὡς τυφλώσων τὸν λέοντα. σκόλοψ δὲ τῷ ὄνυχι αὐτοῦ ὑπεισδὺς ἄλγημα ὀξὺ καὶ φλεγμονὴν μέχρι βουβώνων εἰργάσατο, πυρετός τε ἐπὶ τούτοις ἀνάψας τὸν παῖδα θᾶττον τοῦ βίου ὑπεξήγαγεν. ὁ δὲ λέων καίπερ γραπτὸς ὢν τοῦτον ἀνῃρήκει μηδὲν τῷ τοῦ πατρὸς ὠφεληθέντα σοφίσματι.

Ὅτι ἐν ταῖς εὐχαῖς καὶ δεήσεσι μηδεὶς κατὰ τῶν **136**
ἐχθρῶν αἰτείτω τι· ὃ γὰρ ἂν κακὸν αἰτήσηται, ἐπ' αὐτὸν ἥξει.

Ὑμηττία μέλισσα κηρίων μήτηρ ἀνῆλθεν εἰς θεῶν οἴκους φέρουσα τῷ Διὶ μέλι μήπω καπνισθέν. ὁ Ζεὺς δὲ τῷ δώρῳ ἐτέρφθη καὶ ὑπέσχετο δοῦναι γέρας, ὃ ἂν αἰτήσηται. ἡ δὲ εἶπεν· „δός μοι κέντρον, ἵνα, εἴ τις ἀνθρώπων τὸ ἐμὸν ἔργον πλησιάσῃ ἆραι, ἀναιρῶ τοῦτον.“ ἀπηρέσθη δὲ ὁ Ζεὺς τῇ αἰτήσει· ἠγάπα γὰρ τοὺς ἀνθρώπους. ὅμως καὶ μὴ θέλων ἔδωκεν· εἶπε γὰρ δώσειν. τοιοῦτον δὲ δέδωκεν, ὡς αὐτὴν ἀποθνήσκειν ἅμα τῷ πλῆξαι· ζωὴ δὲ αὐτῆς ἐστι πετομένης τὸ κέντρον.

Ὅτι ἀγαθῶν μὲν οὐδεὶς ταχέως ἐπιτυγχάνει, ὑπὸ **137**
δὲ τῶν κακῶν ἕκαστος καθ' ἑκάστην πλήττεται.

Ὑπὸ τῶν κακῶν τὰ ἀγαθὰ ἐδιώχθη ὡς ἀσθενῆ

2 τυφλώσσων B 3 βοβόνων B **136** prom. deest ap. TCH 9 αἰτείτω τί B 11 Ὑμητία B κηριῶν B 14 ἡ δ' H εἶπε CH 15 πλησιάσοι CH ἆραι B 16 δὲ om. C 18 δ' ἔδωκεν CH cf. indic. 19 δὲ BTC γὰρ H **137** 20 ἀγαθῷ FCH 21 καθεκάστην B 22 Ἀγαθὰ πάντα ὑπὸ τῶν κακῶν FCH

ὄντα. εἰς οὐρανὸν δὲ ἀνῆλθεν. τὰ δὲ ἀγαθὰ ἠρώτησαν τὸν Δία, πῶς εἶναι μετ' ἀνθρώπων. ὁ δὲ εἶπεν· „μὴ μετ' ἀλλήλων πάντα, ἓν δὲ καθ' ἓν τοῖς ἀνθρώποις ἐπέρχεσθαι.“ διὰ τοῦτο τὰ μὲν κακὰ συνεχῆ τοῖς ἀνθρώποις ὡς πλησίον ὄντα ἐπέρχεται, τὰ δὲ ἀγαθὰ βράδιον ἐξ οὐρανοῦ κατιόντα.

138 Ὅτι τὸ κέντρον τῆς λύπης δεινότερόν ἐστιν, ὅτε τις ἐξ οἰκείων κινδυνεύει.

Ὑπεράνωθεν πέτρας ἀετὸς ἐκαθέζετο λαγωοὺς θηρεῦσαι σκοπῶν. τοῦτον δέ τις ἔβαλε τοξεύσας. καὶ τὸ μὲν βέλος ἔσω εἰσῆλθεν, ἡ δὲ γλυφὶς σὺν τοῖς πτεροῖς πρὸ τῶν ὀφθαλμῶν εἱστήκει. ὁ δὲ ἰδὼν ἔφη· „καὶ τοῦτό μοι ἑτέρα λύπη, τὸ τοῖς ἐμοῖς πτεροῖς ἀποθνήσκειν.“

139 Ὅτι δίκη τις ἐφορᾷ τὰ τῶν ἀνθρώπων καὶ τοὺς ἐπιόρκους ἀμύνεται καὶ ἀποδίδωσι κατ' ἀξίαν.

Φιλίαν ἐσπείσατο πρὸς ἀετὸν ἀλώπηξ. καὶ ὁ μὲν εἶχε τὴν καλιὰν ἐπάνω τοῦ δένδρου, ἡ δὲ ὑπὸ τὴν ῥίζαν. ὁ δὲ ἀετὸς ἐπιορκήσας τοὺς σκύμνους τῆς ἀλώπεκος τοῖς [δὲ] νεοσσοῖς θοίνην ἔδωκεν. ἄλλοτε δὲ ἱερεῖον ἐκ τοῦ βωμοῦ ἁρπάσας μετὰ ἄνθρακος ἔθετο εἰς τὴν καλιάν. ἡ δὲ

1 ἀνῆλθον FCH τὰ δὲ ἀγαθὰ em. τὰ δὲ κακὰ B καὶ τὰ ἀγαθὰ H καὶ τὰ κακὰ FC 2 εἶναι δεῖ H ἀνθρώποις B εἶπε CH μὴ μετ' H μετ' BFC 6 κατιόντα B κάτεισι FCH
138 7 ὅτέ τις B 8 κινδυνεύσει B 9 Ὑπὲρ ἄνωθεν B λαγωὸν NCH 10 σκοπῶν B ζητῶν NCH 11 ἔσω B ἐντὸς αὐτοῦ NCH γλυφῆς B 13 ἐμοῖς B ἰδίοις NCH ἐναποθνήσκειν NCH **139** 14 τίς B τοῖς ἀνθρώποις (om. τὰ) M 15 ἀμύνηται M καταξίαν M 19 δὲ BM unc. inclusi. 20 καλλιὰν M ἡ δὲ B οἱ δὲ M

ἐξήφθη καὶ οἱ νεοσσοὶ κατέπεσον· καὶ ἡ ἀλώπηξ θήραν ἐποιήσατο τὸ συμβάν.

Ὅτι οὐ τοσοῦτον οἱ ἄνθρωποι φύσει τὸ δίκαιον **140**
ἀγαπῶσι καὶ τιμῶσιν, ὅσον τὸ κερδαλέον ἐπιδιώκουσιν.

Φυτὸν ἦν εἰς γεωργοῦ χώραν καρπὸν μὴ φέρον, ἀλλὰ μόνον στρουθῶν καὶ τεττίγων κελαδούντων ἦν καταφυγή. ὁ δὲ γεωργὸς ὡς ἄκαρπον ἐκτεμεῖν ἤμελλεν, καὶ δὴ τὸν πέλεκυν λαβὼν ἐπέφερε τὴν πληγήν. οἱ δὲ τέττιγες καὶ οἱ στρουθοὶ ἱκέτευον τὴν καταφυγὴν αὐτῶν μὴ ἐκκόψαι, ἀλλ᾽ ἐᾶσαι, ὥστε ᾄδειν ἐν αὐτῷ καὶ σέ, τὸν γεωργόν, τέρπειν. ὁ δὲ μηδὲν αὐτῶν φροντίσας καὶ δευτέραν πληγὴν καὶ τρίτην ἐπέφερεν. ὡς δὲ ἐκοίλανε τὸ δένδρον, σμῆνος μελισσῶν καὶ μέλι εὗρε. γευσάμενος δὲ τὸν πέλεκυν ἔρριψε καὶ τὸ φυτὸν ἐτίμα ὡς ἱερὸν καὶ ἐπεμελεῖτο.

Ὅτι μηδεὶς λυπείσθω ἐπὶ συμφορᾷ ἐπελθούσῃ· ὃ **141**
γὰρ γεννηθεὶς οὐκ ἔσχεν ἐκ φύσεως, τοῦτο οὐδὲ παραμένει· γυμνοὶ γὰρ ἤλθομεν, γυμνοὶ καὶ ἀπελευσόμεθα.

Φαλακρός τις τρίχας ξένας τῇ ἑαυτοῦ κορυφῇ περιθεὶς ἵππευεν. ἄνεμος δὲ φυσήσας ἀφείλετο ταύτας. γέλως

2 συμβᾶν B **140** 3 τὸ φύσει δίκαιον B τῇ φ. δ. M φ. δ. N 4 κερδάλαιν N 5 εἰς om. M χώρα M φέρων BM 6 καταφύγιον M 7 ἐκτέμνειν NCH ἤμελλε MNCH 8 λαβὼν BNCH ἀναλαβὼν M 10 σὲ om. C αὐτὸν H 12 ἐπέφερε B ἐκύλανε B **141** 15 ἐπὶ om. MN συμφοραῖς MNCH ἐπελθούσαις αὐτῷ MNCH 16 τούτου (sic) M οὔτε B 17 ἤλθομεν ἐκ γῆς πάντες M ἤ. οἱ πάντες NCH καὶ B οὖν καὶ M οὖν NCH 18 Φαρακλὸς τὶς M ξένας τρίχας MNCH τῇ BCH τὴν MN κορυφὴν N περιθεὶς κεφαλῇ CH ἐπιθεὶς M 19 φυσείσας B ἀφεῖλε NCH ἀφεῖλεν M αὐτὰς M

πλατὺς δὲ τοὺς παρεστῶτας εἶχεν. κἀκεῖνος εἶπε τοῦ δρόμου παύσας· ,,τὰς οὐκ ἐμὰς τρίχας τί ξένον φεύγειν με, αἳ καὶ τὸν ἔχοντα ταύτας, μεθ' οὗ καὶ ἐγεννήθησαν, κατέλιπον;''

142 Ὅτι κρείσσων εἷς ῥώμῃ σώματος καὶ ἀνδρείᾳ ἢ καὶ φρονήσει διαφέρων, ἢ πολλοὶ δειλοὶ καὶ ἄνανδροι ἢ καὶ ἄφρονες.

Φασὶν οὖν καυχωμένην ἀγέλην παίδων ἔχουσαν εἰπεῖν τῇ λεαίνῃ· ,,πόσους παῖδας σὺ γεννᾷς;'' ἡ δὲ εἶπεν· ,,ἕνα μέν, ἀλλὰ γενναῖον.''

143 [Ὅτι] τοὺς ὑπνώδεις καὶ ἀργοὺς καὶ ἐξ ἀλλοτρίων πόνων τρεφομένους ὁ μῦθος ἐλέγχει.

Χαλκεὺς εἶχε κύνα. καὶ ὅτε μὲν ἐχάλκευεν, ὁ κύων ἐκοιμᾶτο, ὅτε δὲ ἤσθιεν, παρίστατο αὐτῷ. ὁ δὲ ὀστοῦν ῥίψας αὐτῷ εἶπεν· ,,ταλαίπωρε ὑπνῶδες, ὅταν μὲν τὸν ἄκμονα κρούω, ὑπνοῖς· ὅταν δὲ τοὺς ὀδόντας κινήσω, εὐθὺς ἐγείρῃ.''

144 Ὅτι, κἂν νεκρὸς ᾖ τις, ἰσχύει πρὸς ἄμυναν· ἡ γὰρ θεία δίκη ἐφορᾷ πάντα καὶ τὸ ἴσον ἀποδιδοῦσα ζυγοστατεῖ.

1 δὲ πλατὺς MCH εἶχε MNCH κἀκεῖνος B 2 παυσάμενος M **142** hanc f. edidi in Zeitschr. f. öst. Gymn. 1876 p. 165; cf. epim. fab. 189 F 5 κρεῖσσον B 8 Φασὶνοῦν B **143** 15 ὑπνῶδες em. ὑπνώδη B **144** 19 ᾖ τίς B τὶς ἥει M 20 εὐφορᾷ BN ἀφορῶν M τὸ CH τοῖς BMN ἀποδιδοῦσι BM ἀποδιδῶσι N ζυγοστατοῦσιν B

Χερσαῖος μῦς κακῇ μοίρᾳ βατράχῳ ἐφιλιώθη. ὁ δὲ βάτραχος κακῶς βουλευσάμενος τὸν πόδα τοῦ μυὸς τῷ ἑαυτοῦ ποδὶ συνέδησε. καὶ πρῶτον μὲν ἐπὶ τῆς χώρας ἦλθον σῖτον δειπνήσοντες· ἔπειτα δὲ τῷ χείλει τῆς λίμνης πλησιάσαντες ὁ μὲν βάτραχος τὸν μῦν εἰς τὸ βάθος κατῆγεν αὐτὸς βρυάζων τῷ ὕδατι καὶ τὸ βρεκεκεκὲξ ἀνακράζων. ὁ δὲ ἄθλιος μῦς τῷ ὕδατι φυσηθεὶς ἐτεθνήκει· ἐπέπλει δὲ τῷ ποδὶ τοῦ βατράχου συνδεδεμένος. ἴκτινος δὲ τοῦτον ἰδὼν τοῖς ὄνυξιν ἥρπασεν· βάτραχος δὲ δεσμώτης ἐπηκολούθει δεῖπνος καὶ αὐτὸς τῷ ἰκτίνῳ γενόμενος.

[Ὅτι] δυγνώμους ἄνδρας τοὺς ποτὲ μὲν ἐπαινοῦν- **145**
τας, ποτὲ δὲ ψέγοντας ὁ μῦθος διαβάλλει.

Χειμὼν ἄνθρωπόν τινα ἐν ὄρει κατέλαβεν. ὁ δὲ καπνὸν ἐν τῇ ἄκρᾳ τοῦ ὄρους ἐκ πέτρας τινὸς ἀνιόντα ἰδών, ἔνθα σάτυρος, οὓς λέγουσι παίκτας, κατῴκει, ἐκεῖ ἀπῆλθεν. αὐτὸς δὲ τὸν ξένον οἰκτείρας ἐπεισῆγεν. ὁ δὲ πολλὰ ῥιγῶν τῇ πνοῇ τοῦ στόματος τὰς χεῖρας ἐθέρμανεν.

1 ὁ μῦς M 2 τοῦ BMCH τῆς N 3 τῆς NCH τὰς BM 4 ἦλθε BM δειπνήσαντες MN τὸ χεῖλος MNCH
5 τὸ βάθος B τὸν βυθὸν MNCH κατῆγεν B κατήνεγκεν NCH κατήνεγκε M 6 βρυκάζων M βρυχάζων N βρὲκ ἒξ κεκ ἐξανακράζων B βρεκεξ καὶ κὲξὰν N βρεκεκὲξ κοὰξ κοὰξ CH βρὲκ εκὲξ κονὰξ M
7 φυσιθεὶς B 8 ἐπίπλει M ἰκτῖνος MCH 9 ἥρπασε MNCH δεσμώτας? M 10 δεῖπνον MNCH αὐτὸς τῷ BM αὐτὸς CH αὐτῷ N γινόμενος M γενησόμενος CH **145** 12 Ὅτι BM: unc. incl. Eberhard 13 μῦθος B λόγος M διαβάλει (sic) B ἐλέγχει M 16 πέκτας M κατῴκει, ἐκεῖ Eberhard κατώκει B κατῴκουν M 17 ἐπεισῆγεν B ἔσω εἰσήγαγεν M 18 ἐπεθέρμανε M

κἀκεῖνος αὐτῷ θερμὰ μὲν φαγεῖν δέδωκε καὶ θερμὰ πιεῖν καὶ πυρὶ κατέθαλπεν. ὡς δὲ ἵδρωσε, τῇ πνοῇ πάλιν τὰς χεῖρας κατέψυχεν. ὁ δὲ σάτυρος τοῦτον ἐξῆγε „κακοῦ" λέγων „ξένου χρείαν οὐκ ἔχω, ὃς ποτὲ μὲν θερμόν, ποτὲ δὲ ψυχρὸν ἐκ τοῦ στόματος ἀσθμαίνει."

146 Ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἀλλὰ τὰ δέοντα ποιεῖν, μή πως κινδύνων καὶ λύπης πειραθῇ.

Χειμῶνος ὥρᾳ τὸν σῖτον βραχέντα οἱ μύρμηκες ἔψυχον· τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. οἱ δὲ εἶπον· „διὰ τί τῷ θέρει οὐ συνῆγες καὶ σύ;" ὁ δὲ εἶπεν· „οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικά." οἱ δὲ γελάσαντες εἶπον· „ἀλλ' εἰ θέρους ηὔλεις, χειμῶνος ὀρχοῦ· σῖτον δὲ ἐν θέρει ἀποτίθει καὶ μὴ τοὺς ὁδίτας λυρίζων τέρπε."

147 Ὅτι ἐπισφαλής ἐστι βίος πένητι δυνάστου ἅρπαγος πλησίον παροικοῦντος.

Χύτραν ὀστρακίνην καὶ χαλκῆν ποταμὸς κατέφερεν. ἡ δὲ ὀστρακίνη τῇ χαλκῇ ἔλεγεν· „μακρόθεν μου κολύμβα καὶ μὴ πλησίον· ἐὰν γάρ μοι σὺ προσψαύσῃς, κατακλῶμαι, κἄν τε ἐγὼ μὴ θέλουσα προσψαύσω."

1 κἀκεῖνος B 2 δὲ om. B 3 ὁ B ἡ M 5 ἀσθαίνει M **146** 9 τέτιγξ B αὐτοῖς B 11 ᾖδον CH εἶδον B 13 τέρπεις B **147** 14 ἐπισφαλές M δυναστοῦ MNH ἅρπαγος B ἄρχοντος MNCH 15 παροικοῦντα B παροικοῦντι M 16 παταμὸς om. M 17 ἔλεγε MC 18 σὺ προσψαύσῃς BCH συμπροσψαύσῃς M συνπροψαύσεις N 19 ἐάν τε Hartel θέλουσα προσψαύσω B θ. προσψαῦσαι MN θέλω σοι προσψαῦσαι CH

Ὅτι πολλοὶ καυχῶνται διὰ λόγων ἀνδρεῖοι εἶνα 148
καὶ θρασεῖς, οὓς ἡ πεῖρα γυμνασθέντας ἐξελέγχει.

Ὥδευέ ποτε λέων σὺν ἀνθρώπῳ. ἕκαστος δὲ αὐτῶν τοῖς λόγοις ἐκαυχῶντο. καὶ δὴ ἐν τῇ ὁδῷ ἦν ἀνδρὸς στήλη πετρίνη λέοντα πνίγουσα. ὁ δὲ ἀνὴρ ὑποδείξας τῷ λέοντι ἔφη· „ὁρᾷς σύ, πῶς ἐσμεν ὑμῶν κρείττονες;" κἀκεῖνος εἶπεν ὑπομειδιάσας· „εἰ λέοντες ᾔδεισαν γλύφειν, πολλοὺς ἂν ἄνδρας εἶδες ὑποκάτω λέοντος."

148 1 καυχῶνται B ἐπαίρονται καὶ κ. M λόγου M 2 καὶ θρασεῖς εἶναι M πείρα B 3 ἀνθρώποις M 5 πνιγούσης B 6 σὺ om. M ὅπως M ἐσμὲν B 7 κἀκεῖνος εἶπεν ὑπομειδιάσας B ὁ δὲ ἔφη M λέοντες om. M γλυφὴν B 8 ἂν om. M ὑπὸ κάτω BM

INDEX GRAMMATICVS

Numeri adiecti fabulas indicant.

δώσῃ (ibid.); cf. coniunctivos hos ap. Procopium: αἱρήσωσι (I 518, 14) ἀκούσησθε (II 71, 20) ἀφίξηται (I 479, 10) γενήσωνται (I 220, 10) δώσωσι (II 47, 21) alios in indice ed. Bonn. ap. Leon. Gramm. ἀναιρήσωσι (237, 15) ἐσώμεθα (355, 15) καταβάσωμεν (354, 21) Lobeck pathol. 721. Winer Gramm. p. 72.

Dativus loci praepositione non addita: ἀρούρῃ (14) κοιλώματι δρυὸς στενωτάτῳ (64).

Genetivus absolutus praeter morem usurpatus: πάντων τῶν στρατευμάτων ὄντων — νίκην ποιοῦνται (86. 124?) cf. Matth. 1, 18: μνηστευθείσης τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ιωσὴφ . . . εὑρέθη ἐν γαστρὶ ἔχουσα . . (Winer Gramm. p. 195) Theophan. 69, 17: Μακεδονίου τοίνυν τυραννικῶς τὸν θρόνον Κωνσταντινουπόλεως κατέχοντος μετήγαγε τὸ σῶμα κτλ. 77, 16. 332, 10. 413, 15. alios.

Infinitivus futuri pro infin. praes. vel aoristi: 41. 53. 62, 75 (bis) 114. 117. (Scriptor libri M nonnunquam futurum in aoristum vel praes. correxit; cf. fab. 41) Joann. Cinn. 40, 9; σὸν δ' ἂν εἴη λοιπὸν ἐπιταχήσειν τὴν ἄφιξιν μηδὲ μακραῖς ἡμᾶς ἐνταῦθα διάγειν ἐπαγγελίαις. 34, 9. 72, 10. 111, 12. 180, 19. 283, 16. Theodor. Prodrom. Rhod. IV 361: καί που συνελθεῖν καὶ συνεμπλέξαι χέρα καὶ συγχωρεύσειν ἔσχες ἂν σφοδρὸν πόθον; cf. Hercher erott. II p. IL.

Infinitivus c. genet. articuli: 43. 72. 118. 126; c. dativo articuli et praepos. ἐν: 83; cf. Winer Gramm. §. 44, 4, 6.

Infinitivus pro indicativo in sententia interrogativa: πῶς εἶναι μετ' ἀνθρώπων (137) cf. Babr. 82, 8. Ducas Hist. Byzant. (ed. Bonn.) 153, 22: μὴ ἔχων, τί ποιῆσαι. 59, 12: οὐκ ἔχομεν, ποῦ καταφυγεῖν. 216, 13: οὐκ ἄλλο εἶχον, τί λέγειν. 157, 2. 164, 21. 236, 18. Kühner Ausf. Gramm. p. 590. A. 1. Lobeck Phryn. p. 772.

Ionicae formae: ἀρούρῃ (14) ἀρούρης (94) φιλίης (30) οὐρήν (68) προτιμοτέρη (30).

Locus ex sacra scriptura translatus: 141 = Job 1, 21.

Neglegentia structurae: 12, 38. 69. 140.

Nominativus absolutus: 12. 56.

INDEX FABVLARVM


Cod. B	Cod. M	Ed. Coraes.	Ed. Halm.	Babrii fabb. ed. Eberh.
1	—	138 T	275c	16
2	1	149	10	12
3	2	153	18	—
4	3	151	(17)	3
5	—	356 T	(122)	143
6	—	—	—	10
7	4	145 p. 87	(21)	5
8	5	154	26	4
9	6	163	61	11
10	—	—	—	15
11	—	279	403	1
12	7	(125)	(177)	7
13	8	(165)	(69)	14
14	9	172	100	13
15	10	162	56b	22
16	11	(131)	(83)	23
17	—	306	(82)	18
18	12	156	(33)	19
19	—	(p. 356)	(88)	32
20	13	242	(291)	31
21	—	350 T	77b	24
22	14	193	174	29
23	—	307	92	—
24	15	174	(113)	37

Cod. B	Cod. M	Ed. Coraes.	Ed. Halm.	Babrii fabb. ed. Eberh.
25	—	p. 406	181	40
26	—	308	159	—
27	16	(129)	(62)	42
28	17	p. 111	(123)	38
29	18	p. 85	179	36
30	19	267	366^{b}	35
31	—	232	271	53
32	37	(168)	(79)	52
33	36	(p. 388)	(316^{b})	49
34	20	p. 113	(128)	43
35	—	269	(368)	—
36	—	296	(394)	44
37	21	150	12^{b}	45
38	—	(171)	(103)	47
39	22	288	382^{b}	51
40	—	(403)	(141)	57
41	23	(127)	(35)	50
42	24	(170)	(97)	150
43	—	190 T	155^{b}	59
44	—	360 T	—	58
45	33	423	416	—
46	25	p. 83 T	(157)	62
47	—	357 T	397	65
48	—	(180)	(125)	64
49	—	223	253	174
50	—	(337)	(359)	66
51	—	361 T	162	70
52	34	225	258	67
53	35	192	168	75
54	—	(p. 385)	(94)	71
55	—	(293)	(170)	73
56	—	(404)	(207^{b})	—

Cod. B	Cod. M	Ed. Coraes.	Ed. Halm.	Babrii fabb. ed. Eberh.
57	—	362 T	178	76
58	—	194	173	74
59	—	p. 119 T	(200)	72
60	—	199	188	—
61	—	(204)	(204)	77
62	—	205	205	—
63	—	(132)	(208)	78
64	—	(158)	(31)	86
65	—	(218)	(257)	82
66	—	(209)	(233)	79
67	—	195	176	83
68	—	354 T	229	87
69	—	—	—	—
70	—	213	(235)	84
71	—	210	224	104
72	—	277	396	91
73	—	(137)	(246)	103
74	—	(348)	(252)	90
75	—	358 T	243	95
76	—	(221)	(249)	98
77	47	(217)	(256)	107
78	—	363 T	242	102
79	—	175	114	92
80	—	238	269	93
81	48	139 T	(135)	96
82	49	(235)	(281)	152
83	—	(229)	(274)	89
84	—	(144)	(276)	94
85	—	234	279	105
86	—	359 T	267	85
87	—	—	—	—
88	—	(56)	(303)	—

Cod. B	Cod. M	Ed. Coraes.	Ed. Halm.	Babrii fabb. ed. Eberh.
89	—	271	371	113
90	—	239	285	114
91	—	(295)	(187)	109
92	—	(254)	(322)	111
93	—	(309)	(362)	—
94	—	p. 197 T	297^{b}	108
95	—	364 T	118	117
96	—	286	418	118
97	—	(128)	(66)	119
98	—	365 T	314	128
99	—	258	333^{a}	164
100	—	—	—	—
101	—	(57)	(237)	25
102	38	233	266	—
103	—	(58)	(328)	—
104	—	(197)	(184)	170
105	—	366 T	152	130
106	—	259	334	122
107	—	(401)	(335)	—
108	—	256	325	—
109	46	257	324^{b}	129
110	—	(203)	(8)	(171)
111	—	(152)	(16^{b})	121
112	—	(136)	(343)	123
113	—	(135)	(78^{b})	120
114	—	(285)	(417^{b})	—
115	—	(310)	(352)	p. 94
116	45	260	344	176
117	—	—	—	—
118	42	(141)	(96^{b})	153
119	43	(263)	(350^{b})	156
120	—	(266)	(353)	—

Cod. B	Cod. M	Ed. Coraes.	Ed. Halm.	Babrii fabb. ed. Eberh.
121	—	—	—	—
122	44	164	356	167
123	41	272	372b	134
124	—	341	381	135
125	—	(183)	(145)	151
126	—	(167)	(76)	—
127	—	417	375	(133)
128	39	(147)	(6)	166
129	—	(p. 188)	(420b)	177
130	40	275	384	—
131	—	(142)	(386)	—
132	—	159 T	42b	137
133	—	280	404	148
134	—	p. 6	45b	145
135	—	(264)	(349)	138
136	—	240 T	287c	139
137	—	402	1	—
138	—	(133)	(4)	146
139	26	(1)	(5)	—
140	27	173	102	169
141	28	283	410	140
142	—	(215)	(240)	—
143	—	(284)	(413)	—
144	29	245	298	175
145	30	(126)	(64)	p. 98
146	—	(134)	(401)	126
147	31	290	422	p. 94
148	32	(219)	(63)	173



Vindobonae typis expresserunt Amadeus Gistel et soc.

